rem, opinor, qua ex parte ille debilis ſit; ac multo prius de illo quam de me in judicio ageretur. SOC. Atqui ego quidem, dulcis amice, hæc ſciens, diſcipulus tuus fieri cupio; cum hoc *nempe* compertum habeam, nec alium omnino quempiam, nec Melitum iſtum in te quidem oculos attollere videri; me vero hic acute adeo plane facileque perſpexit, ut impietatis accuſaverit.

6. Nunc ergo per Jovem mihi dicas, quod te plane noſſe affirmabas, quidnam pium, & quid impium eſſe ſtatuas, & in cæde, & in cæteris rebus. An non idem ſit in omni actione ipſum cum ſe ipſo ſanctum; & profanum rurſus omni ſancto contrarium, ipſum vero ſibi ipſi conſimile, unamque, ſecundum quam profanum eſt, ideam habet, quodcunque profanum futurum ſit? EUTH. Omnino, Socrates. SOC. Dic ergo, quid ſanctum, quid profanum eſſe ſtatuas. EUTH. Sanctum quidem illud eſſe aio,

1 Forſan *πάντως Steph.* 2 Forſ. *μέλλῃ Steph.*

ὅπερ ἐγὼ νῦν ποιῶ, τῷ ἀδικοῦντι, ἢ περὶ φόνους, ἢ περὶ ἱερῶν κλοπάς, ἤ τι ἄλλο τῶν τοιούτων ἁμαρτάνοντι ἐπεξιέναι· ἐάν τε πατὴρ ὢν τυγχάνῃ, ἐάν τε μήτηρ, ἐάν τε ἄλλος ὁστισοῦν· τὸ δὲ μὴ ἐπεξιέναι, ἀνόσιον. ἐπεί, ὦ Σώκρατες, θέασαι ὡς μέγα σοι ἐρῶ τεκμήριον τοῦ νόμου, ὅτι οὕτως ἔχει, ὃ καὶ ἄλλοις ἤδη εἶπον, ὅτι ταῦτα ὀρθῶς ἂν εἴη οὕτω γιγνόμενα, μὴ ὑπιστέπειν τῷ ἀσεβοῦντι, μηδ' ἂν ὁστισοῦν τυγχάνῃ ὤν. αὐτοὶ γάρ οἱ ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον καὶ δικαιότατον· καὶ τοῦτον ὁμολογοῦσι τὸν αὐτοῦ πατέρα δῆσαι, ὅτι τοὺς υἱεῖς κατέπινεν οὐκ ἐν δίκῃ· καὶ ἐκεῖνόν γε αὖ τὸν αὐτοῦ πατέρα ἐκτεμεῖν δι' ἕτερα τοιαῦτα· ἐμοὶ δὲ χαλεπαίνουσιν, ὅτι τῷ πατρὶ ἐπεξέρχομαι ἀδικοῦντι· καὶ οὕτως αὐτοὶ ἑαυτοῖς τὰ ἐναντία λέγουσι περί τε τῶν θεῶν καὶ περὶ ἐμοῦ. ΣΩΚ. Ἆρά γε, ὦ Εὐθύφρων, τοῦτ' ἔστιν, οὗ ἕνε-

quod ipſe nunc facio, eum *nempe*, qui injuſte agit, vel circa cædes, vel ſacrilegia, vel aliud hujuſcemodi, in judicium trahere; ſeu pater, ſive mater, ſeu quiſquis demum alius fuerit; *talem* vero non perſequi, profanum *voco*. Quin vide quæſo, Socrates, quam validum tibi de lege, quod ita ſit, argumentum referam, quod & aliis narravi, hæc *ſcilicet* tum demum recte agi, cum nemini prorſus, qui impium aliquod admittat, quiſquis ille fuerit, indulgemus. Homines enim ipſi credunt Jovem deorum optimum atque juſtiſſimum eſſe: & hunc tamen patrem ſuum in vincula conjeciſſe fatentur, quod natos injuſte deglutiſſet: & illum quoque alterum, *Saturnum ſcilicet*, patrem ſuum caſtraviſſe ob hujuſcemodi alia *aſſerunt*: mihi vero ſuccenſent, quod parentem injuſte agentem perſequor; atque ita homines iſti in iis, quæ & de diis & de me dicunt, ſibi ipſis repugnant. SOC. Annon vero hanc ob cauſam *præſertim* ipſe, Euthy-

κα τὴν γραφὴν φεύγω, ὅτι τὰ τοιαῦτα ἐπειδάν τις περὶ τῶν θεῶν λέγῃ, δυσχερῶς πως ἀποδέχομαι· διὰ δή, ὡς ἔοικε, φήσῃ τίς με ἐξαμαρτάνειν; νῦν οὖν, εἰ καί σοι ταῦτα σαφῶς δοκεῖ, τῷ εὖ εἰδότι περὶ τῶν τοιούτων, ἀνάγκη δή, ὡς ἔοικε, καὶ ἡμῖν ξυγχωρεῖν. τί γὰρ καὶ φήσομεν, οἵγε καὶ αὐτοὶ ὁμολογοῦμεν περὶ αὐτῶν μηδὲν εἰδέναι; ἀλλά μοι εἰπὲ πρὸς φιλίου, σὺ ὡς ἀληθῶς ἡγῇ ταῦτα γεγονέναι οὕτως; ΕΥΘ. Καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴσασι. ΣΩΚ. Καὶ πόλεμον ἄρα ἡγῇ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς πρὸς ἀλλήλους, καὶ ἔχθρας δεινὰς καὶ μάχας, καὶ ἄλλα τοιαῦτα πολλά, οἷα λέγεται ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ τῶν ἀγαθῶν γραφέων τά τε ἄλλα ἱερὰ ἡμῶν καλαπεποίκιλται, καὶ δὴ καὶ τοῖς μεγάλοις Παναθηναίοις ὁ πέπλος μετὰ τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς τὴν ἀκρόπολιν. ταῦτα ἀληθῆ φῶμεν εἶναι, ὦ Εὐθύφρων; ΕΥΘ. Μὰ μόνα γε, ὦ Σώκρατες· ἀλλ', ὅπερ ἄρτι ἔλεγον, καὶ

phro, in jus rapior, quod, quoties de diis talia quis dicat, *ei* ægre aſſentior; quapropter, ut videtur, peccare me aliquis dicet? Nunc autem ſi tibi quoque hæc ita videntur, harum rerum perito, neceſſe eſt, ut apparet, nos etiam concedere. Quid enim *aliud* dicemus, quippe qui noſmet in rebus iſtis nihil ſapere ipſi agnoſcimus? At per *Jovem* amicitiæ præſidem mihi dicas, an ipſe ſic iſta revera eveniſſe putes? EUTH. Et hiſce mirabiliora inſuper, Socrates, quæ vulgo hominum ignota ſunt. SOC. Et bellum igitur inter deos revera geri invicem arbitraris, inimicitiaſque graves & pugnas, aliaque hujuſmodi permulta extitiſſe, quæ a poetis commemorantur, & quibus a bonis pictoribus cum alia apud nos fana variantur, tum vero in magnis Panathenæis peplus quamplurimis hujuſcemodi figuris diſtinctus in arcem infertur. An hæc vera, Euthyphro, eſſe fatebimur? EUTH. Non hæc ſola, Socrates; ſed, quod modo dicebam, ego ti-

ἄλλα σοι ἐγὼ πολλά, ἐάνπερ βούλῃ, περὶ τῶν θείων διηγήσομαι· ἃ σὺ ἀκούων εὖ οἶδ' ὅτι ἐκπλαγήσῃ.

ζ'. ΣΩΚ. Οὐκ ἂν θαυμάζοιμι. Ἀλλὰ ταῦτα μέν μοι εἰσαῦθις ἐπὶ σχολῆς διηγήσῃ· νυνὶ δ', ὅπερ ἄρτι σε ἠρόμην, πειρῶ σαφέστερον εἰπεῖν. οὐ γάρ με, ὦ ἑταῖρε, τοπρότερον ἱκανῶς ἐδίδαξας, ἐρωτήσαντα τὸ ὅσιον ὅ, τι ποτὲ εἴη· ἀλλά μοι εἶπες ὅτι τοῦτο τυγχάνει ὅσιον ὄν, ὃ σὺ νῦν ποιεῖς, φόνῳ ἐπεξιὼν τῷ πατρί. ΕΥΘ. Καὶ ἀληθῆ γε ἔλεγον, ὦ Σώκρατες. ΣΩΚ. Ἴσως. Ἀλλὰ φῂς, ὦ Εὐθύφρον, καὶ ἄλλα πολλὰ ὁσίᾳ εἶναι ὅσια; ΕΥΘ. Καὶ γάρ ἐστι. ΣΩΚ. Μέμνησο οὖν ὅτι οὐ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων· ἀλλ' ἐκεῖνο αὐτὸ ὃ εἶναι ὅσιον, ᾧ πάντα τὰ ὅσια, ὁσιά ἐστιν. ἔφησθα γάρ που μιᾷ ἰδέᾳ τά τε ἀνόσια, ἀνόσια εἶναι· καὶ τὰ ὅσια, ὅσια. ἢ οὐ μνημονεύεις; ΕΥΘ. Ἔγωγε. ΣΩΚ. Ταύτην τοίνυν με αὐτὴν δίδαξον τὴν ἰδέαν τίς

bi alia quoque multa, si velis, de rebus divinis exponam; quæ cum audiveris, sat scio, obstupescès.

7. SOC. Nequaquam mirarer. Verum ista deinceps, quando plus otii nactus fueris, referes; nunc vero, quod modo quærebam, explicare planius nitere. Neque enim antehac me satis, amice, docuisti, cum quidnam sanctum esset interrogarem: sed *solummodo* id sanctum esse dixisti, quod tu nunc agis, cædis patrem tuum reum agens. EUTH. Et vera nimirum, Socrates, dicebam. SOC. Fortasse. Nonne vero & alia multa, Euthyphro, sancta nuncupas? EUTH. Sunt etenim. SOC. Recordare igitur me non hoc a te petere, ut unum aut duo ex multis rebus sanctis, sed speciem illam ipsam, qua sancta omnia sancta sunt, doceres. Dixisti enim una idea profana omnia profana esse; atque *una item*, quæ sancta sunt, sancta. An non meministi? EUTH. Equidem. SOC. Quænam igitur sit ea ipsa idea,

πολέ ἐστιν· ἵνα εἰς ἐκείνην ἀποβλέπων, ᾗ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλος τις πράττῃ, φῶ ὅσιον εἶναι· ὃ δ' ἂν μὴ τοιοῦτον, μὴ φῶ. ΕΥΘ. Ἀλλ' εἰ ὅτῳ βούλῃ, ὦ Σώκρατες, ᾗ ὅτῳ σοι φράσω. ΣΩΚ. Ἀλλὰ μὴν βούλομαί γε. ΕΥΘ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς φίλον θεοσεβὲς, ὅσιον· τὸ δὲ μὴ φίλον θεοσεβὲς, ἀνόσιον. ΣΩΚ. Παγκάλως, ὦ Εὐθύφρων, καὶ ὡς ἐγὼ ἐζήτουν ἀπεκρίνω σοι· οὕτω νῦν ἀπεκρίνω. εἰ μέντοι ὡς ἀληθῶς, τοῦτο ὅτῳ οἶδα. Ἀλλὰ σὺ δηλονότι ἐπεδείξεις ὡς ἔστιν ἀληθῆ ἃ λέγεις. ΕΥΘ. Πάνυ μὲν οὖν.

η'. ΣΩΚ. Φέρε δή, ἐπισκεψώμεθα τί λέγομεν. τὸ μὲν θεοφιλές τε καὶ ὁ θεοφιλὴς ἄνθρωπος, ὅσιον· τὸ δὲ θεομισὲς καὶ ὁ θεομισὴς, ἀνόσιον. οὐ ταυτὸν δ' ἔστιν, ἀλλὰ ὅ ἐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ. ἦ γάρ; ΕΥΘ. Οὕτω μὲν οὖν. ΣΩΚ. Καὶ εὖ γε φαίνεται εἰρῆσθαι. ΕΥΘ. Δο-

mihi oſtende; ut ad illam reſpiciens, eaque tanquam exemplari aliquo utens, quodcunque ex iis, quæ vel tu vel alius quivis egerit, tale ſit, ſanctum eſſe dicam; quod autem diſſimile, negem. EUTH. At ſi ita vis, Socrates, ita etiam dicam. SOC. Imo certe volo. EUTH. Quod ergo amatum diis eſt, ſanctum eſt; quod vero minime amatum, profanum eſt. SOC. Præclariſſime, Euthyphro, & ut te reſpondere volebam, ita nunc reſpondiſti. Utrum tamen verum *reſponderis*, nondum novi. Sed tu videlicet vera hæc eſſe inſuper oſtendes. EUTH. Omnino quidem.

8. SOC. Age itaque, quod dicimus conſideremus. Quod diis amatum eſt, *ſanctum eſt*, & qui diis amatus, ſanctus: quod autem diis inviſum, *profanum*, & qui diis inviſus, profanus eſt. Sanctum vero & profanum non eadem ſunt, ſed omnino contraria: nonne ita eſt? EUTH. Ita certe. SOC. Et hæc recte dicta eſſe videntur. EUTH. Sic

κῶ, ὦ Σώκρατες. εἴρηται γάρ. ΣΩΚ. Οὐκοῦν καὶ ὅτι στασιάζουσιν οἱ θεοὶ καὶ διαφέρονται ἀλλήλοις, ὦ Εὐθύφρον, καὶ ἔχθρα ἐστὶν ἐν αὐτοῖς πρὸς ἀλλήλους, καὶ τοῦτο εἴρηται; ΕΥΘ. Εἴρηται γάρ. ΣΩΚ. Ἐχθραν δὲ καὶ ὀργὰς, ὦ ἄριστε, ἡ περὶ τίνων διαφορὰ ποιῇ, ὧνδε ἢ σκοπῶμεν. ἆρα ἂν εἰ διαφερούμεθα ἐγώ τε καὶ σὺ περὶ ἀριθμοῦ, ὁπότερα πλείω, ἢ περὶ τούτων διαφορὰ ἐχθροὺς ἂν ἡμᾶς ποιῇ, καὶ ὀργίζεσθαι ἀλλήλοις; ἢ ὅτι λογισμὸν ἐλθόντες περί γε τοιούτων, ταχὺ ἂν ἀπαλλαγείημεν; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Οὐκοῦν καὶ περὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος εἰ διαφερούμεθα, ἐπὶ τὸ μετρεῖν ἐλθόντες, ταχὺ παυσαίμεθ' ἂν τῆς διαφορᾶς; ΕΥΘ. Ἐοικε ταῦτα. ΣΩΚ. Καὶ ὅτι γε τὸ ἰσχύειν ἐλθόντες, ὡς ἐγῷμαι, περὶ τοῦ βαρυτέρου τε καὶ κουφοτέρου διακριθείημεν ἄν; ΕΥΘ. Πῶς γὰρ οὔ; ΣΩΚ. Περὶ τίνος δὲ δὴ διενεχθέντες, καὶ ὅτι τίνα κρίσιν οὐ δυνάμενοι ἀφικέσθαι, ἐχθροί τε ἂν ἀλλή-

existimo, Socrates: dicta enim sunt. SOC. Nonne & hoc etiam dictum est, Euthyphro, deos inter se dissidere atque pugnare, inimicitiasque inter eos esse? EUTH. Dictum profecto est. SOC. Inimicitias autem & iras, optime, dissensio de quibusnam gignit, ita consideremus. Num, si ego & tu de numero dissentiremus, utra essent plura, dissensio hujusmodi nos inimicos faceret, & iracundiam concitaret? an *potius* in rebus hujusmodi ad computationem confugiendo, statim ab hac dissensione cessaremus? EUTH. Prorsus. SOC. Et si de majore & minore dissentiremus, nonne ad metiendum recurrendo, finem statim controversiæ imponeremus? EUTH. Vera hæc sunt. SOC. Et ad ponderandum, ut opinor, recurrendo, quæstio *itidem* de graviore ac leviore solveretur? EUTH. Quidni? SOC. Quænam ergo sunt ea, de quibus si dissentiremus, nec ipsa ad examen aliquod revocare possemus, inimici nobis invi-

λοις εἴημεν ἢ ὀργιζοίμεθα; ἴσως δ' προχειρόν σοι ἐστὶν· ἀλλ' ἐμοῦ λέγοντος, σκόπει εἰ τάδ' ἐστὶ, τό, τε δίκαιον ἢ ὃ ἄδικον, καὶ καλὸν ἢ αἰσχρὸν, καὶ ἀγαθὸν ἢ κακόν. ἆρ' ὃ ταῦτά ἐστι, περὶ ὧν διενεχθέντες, ἢ δ δυνάμενοι ὅπῃ ἱκανὴν κρίσιν αὐτῶν ἐλθεῖν, ἐχθροὶ ἀλλήλοις γιγνόμεθα, ὅταν γιγνώμεθα, ἢ ἐγὼ καὶ σὺ ἢ οἱ ἄλλοι ἄνθρωποι πάντες; ΕΥΘ. Αλλ' ἔστιν αὕτη ἡ διαφορὰ, ὦ Σώκρατες, ἢ περὶ τούτων. ΣΩΚ. Τί δὲ; οἱ θεοὶ, ὦ Εὐθύφρον, ὄκ, εἴπερ τι διαφέρονται, δι' αὐτὰ ταῦτα διαφέρονται ἄν; ΕΥΘ. Πολλὴ ἀνάγκη. ΣΩΚ. Καὶ τῶν θεῶν ἄρα, ὦ γενναῖε Εὐθύφρον, ἄλλοι ἄλλα δίκαια ἡγοῦνται, ἢ τὸν λόγον, καὶ καλὰ καὶ αἰσχρὰ, καὶ ἀγαθὰ ἢ κακά. οὐ γὰ ἄν που ἐστασίαζον ἀλλήλοις, εἰ μὴ περὶ τούτων διεφέροντο. ἢ γαρ; ΕΥΘ. Ορθῶς λέγεις. ΣΩΚ. Οὐκοῦν ἅπερ καλὰ ἡγοῦνται ἕκαστοι καὶ ἀγαθὰ ἢ δίκαια, ταῦτα ἢ φιλοῦσι, τὰ δὲ ἐναντία τούτων ἢ μισοῦσιν; ΕΥΘ. Πάνυ γε. ΣΩΚ.

cem efficeremur & iraſceremur? Forſitan in promptu non habes: verum me dicente, tu conſidera utrum hæc ſint, juſtum & injuſtum, pulchrum & turpe, bonumque & malum. Nonne hæc ſunt, de quibus cum diſſentimus, nec certum ſatis de iis judicium poſſumus exercere, hoſtes invicem efficimur, quoties efficimur, & ego & tu & demum homines univerſi? EUTH. Hæc ipſa certe diſſenſio eſt, Socrates, & de rebus hiſce. SOC. Quid vero? nonne & dii, Euthyphro, ſi de re aliqua diſſentiant, de his ipſis diſſentiunt? EUTH. Neceſſe eſt omnino. SOC. Deorum itaque, generoſe Euthyphro, alii alia juſta putant, ſecundum orationem tuam, & pulchra item & turpia, bonaque & mala. Nequaquam enim invicem decertarent, niſi de hiſce diſſentirent: nonne? EUTH. Recte loqueris. SOC. Nonne quæ pulchra ſinguli putant bonaque & juſta, hæc amant, quæ contraria, odio habent? EUTH. Omnino. SOC.

[1] Ταῦτα δέ γε, ὡς σὺ φῂς, οἱ μὲ δίκαια ἡγοῦνται, οἱ δὲ ἄδικα· περὶ ἃ καὶ ἀμφισβητοῦντες, ϛασιάζουσί τε καὶ πολεμοῦσιν ἀλλήλοις. ἆρ' οὐχ οὕτως; ΕΥΘ. Οὕτω. ΣΩΚ. Ταυτὰ ἄρα, ὡς ἔοικε, μισεῖται ὑπὸ τῶν θεῶν καὶ φιλεῖται· καὶ θεομισῆ τε καὶ θεοφιλῆ [2] ταῦτ' ἂν εἴη. ΕΥΘ. Εοικε. ΣΩΚ. Καὶ ὅσια ἄρα καὶ ἀνόσια ταὐτὰ ἂν εἴη, ὦ Εὐθύφρον, τούτῳ τῷ λόγῳ. ΕΥΘ. Κινδυνεύει.

θ'. ΣΩΚ. Οὐκ ἄρα ὃ ἠρόμην, ἀπεκρίνω, ὦ θαυμάσιε. ὃ γὰ τοῦτό γε ἠρώτων, ὃ τυγχάνει ταυτὸν ὂν ὅσιόν τε καὶ ἀνόσιον· ὃ δ' ἂν θεοφιλὲς ᾖ, καὶ θεομισές ἐϛιν, ὡς ἔοικεν. ὥϛε, ὦ Εὐθύφρον, ὃ σὺ νῦν ποιεῖς, τὸν πατέρα κολάζων, οὐδὲν θαυμαϛὸν, εἰ τοῦτο δρῶν, τῷ μὲν Διὶ φιλτάτοις ποιεῖς, τῷ δὲ Κρόνῳ καὶ τῷ Οὐρανῷ ἐχθρόν· καὶ τῷ μὲν Ηφαίϛῳ φίλον, τῇ δὲ Ηρᾳ ἐχθρόν· καὶ εἴπις ἄλλῳ θεῶν ἕτερος ἑτέρῳ διαφέρεται περὶ αὐτῶν, καὶ ἑκάϛοις κατὰ ταυτά. ΕΥΘ. Αλλ' οἶ-

Eadem vero, ut tu ais, alii juſta alii injuſta cenſent; de quibus diſceptantes contendunt invicem, atque pugnant: nonne ita eſt? EUTH. Ita. SOC. Eadem igitur, ut videtur, a diis amantur, odioque habentur; atque diis amata & diis inviſa eadem plane erunt. EUTH. Apparet. SOC. Et hac igitur ratione, Euthyphro, eadem ſancta erunt & profana. EUTH. Videtur.

9. SOC. Non ergo quod quærebam, vir egregie, reſpondiſti. Non enim id volebam, cui ut & ſanctum & profanum ſimul ſit, contingit: quod vero diis amatum ſit, diis quoque inviſum eſt, ut videtur. Quamobrem, Euthyphro, quod tu nunc agis, parentem puniens, nihil mirum *erit*, ſi, dum hoc agis, Jovi gratum facias, Saturno autem & Cœlo inimicum; & Vulcano quidem amicum, Junoni vero inviſum; ac ſiquis deorum alius de hoc ipſo ab alio diſſidet, id iis quoque ſimiliter *videatur*. EUTH. At opi-

1 Forſan Ταυτὰ. 2 Forſ. ταυτὰ ἂν.

μαι, ὦ Σώκρατες, σοὶ γε τούτου τῶν θεῶν οὐδένα ἕτερον ἑτέρῳ διαφέρεσθαι, ὡς δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀδίκως τινὰ ἀποκτείνῃ. ΣΩΚ. Τί δέ; ἀνθρώπων, ὦ Εὐθύφρων, ἤδη τινὸς ἤκουσας ἀμφισβητοῦντος ὡς τὸν ἀδίκως ἀποκτείναντα, ἢ ἄλλο ἀδίκως ποιοῦντα ὁτιοῦν, δεῖ διδόναι δίκην; ΕΥΘ. Οὐδὲν μὲν οὖν παύονται ταῦτα ἀμφισβητοῦντες καὶ ἄλλοθι καὶ ἐν τοῖς δικαστηρίοις. ἀδικοῦντες γὰρ πάμπολλα, πάντα ποιοῦσι καὶ λέγουσι, φεύγοντες τὴν δίκην. ΣΩΚ. Η καὶ ὁμολογοῦσιν, ὦ Εὐθύφρον, ἀδικεῖν; καὶ ὁμολογοῦντες, ὅμως οὐ δεῖν φασι σφᾶς διδόναι δίκην; ΕΥΘ. Οὐδαμῶς τοῦτό γε. ΣΩΚ. Οὐκ ἄρα πᾶν γε ποιοῦσι καὶ λέγουσι. τοῦτο γάρ, οἶμαι, οὐ τολμῶσι λέγειν οὐδ' ἀμφισβητεῖν, ὡς οὐκ, εἴπερ ἀδικοῦσί γε, δοτέον δίκην· ἀλλ', οἶμαι, οὐ φασιν ἀδικεῖν· ἢ γάρ; ΕΥΘ. Ἀληθῆ λέγεις. ΣΩΚ. Οὐκ ἄρα ἐκεῖνό γε ἀμφισβητοῦσιν, ὡς δ' τὸν ἀδι-

nor, Socrates, hac in re deorum neminem ab alio *ita* discrepare, *ut affirmet* eum, qui injuste quenquam peremerit, pœnas pendere non debere. SOC. Quid vero? Num hominem ullum, Euthyphro, de hoc unquam dubitantem audivisti, quin eum, qui injuste aliquem occiderit, aut aliud quidvis injuste egerit, pœnas dare deceat? EUTH. Nunquam equidem de iis disceptare cum alibi tum in judiciis cessant. Qui enim quam plurimum peccarunt, omnia dicunt faciuntque, cum rei aguntur. SOC. An fatentur etiam, Euthyphro, se injuste agere? ac, dum id fatentur, se pœnas tamen affirmant pendere non debere? EUTH. Id quidem nullo modo. SOC. Non ergo omnia dicunt faciuntque. Hoc enim, ut arbitror, dicere aut ambigere nequaquam audent, quin *de seipsis*, si injuste egerint, supplicium sumendum sit: sed negant, opinor, se injuste egisse: an non? EUTH. Vera loqueris. SOC. Haud igitur de hoc ambigunt, utrum inju-

κῶνζα δεῖ δικάσαι δίκην· ἀλλ' ἐκεῖνο ἴσως ἀμφισβητῶσι, τὸ πῖς ἐστιν ὁ ἀδικῶν, καὶ τί δρῶν, καὶ πότε. ΕΥΘ. Ἀληθῆ λέγεις. ΣΩΚ. Οὐκοῦν ταῦτά γε ταυτὰ καὶ οἱ θεοὶ πεπόνθασιν, εἴπερ στασιάζουσί τε περὶ τῶν δικαίων καὶ ἀδίκων, ὡς ὁ σὸς ἐστι λόγος· καὶ οἱ μέν φασιν ἀδικεῖν ἀλλήλους, οἱ δ' οὔ φασιν; ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς ὃ γε ἀδικοῦντι δοτέον δίκην. ΕΥΘ. Ναί· τοῦτο μὲ ἀληθὲς λέγεις, ὦ Σώκρατες, τόγε κεφάλαιον. ΣΩΚ. Ἀλλ' ἔκαστόν γε, οἶμαι, ὦ Εὐθύφρον, τῶν πραχθέντων ἀμφισβητοῦσιν οἱ ἀμφισβητοῦντες καὶ ἄνθρωποι καὶ θεοί· εἴπερ ἀμφισβητοῦσι θεοὶ περὶ στάσεως τινὸς πέρι διαφερόμενοι, καὶ οἱ μὲν δικαίως φασὶν αὐτὴν πεπρᾶχθαι, οἱ δὲ ἀδίκως· ἦ γὰρ οὕτω; ΕΥΘ. Πάνυ γε.

ι'. ΣΩΚ. Ἰθι τοίνυν, ὦ φίλε Εὐθύφρον, δίδαξον καὶ ἐμέ, ἵνα σοφώτερος γένωμαι, τί σοι τεκμήριόν ἐστιν ὡς πάντες θεοὶ

stum puniri oporteat; verum de hoc forsan inter se disceptant, quisnam is sit, qui injuste facit, & quid agendo, & quando. EUTH. Vera dicis. SOC. Nonne eadem hæc diis accidunt, si de justis atque injustis, ut tua fert oratio, dissentiunt; atque eorum alii alios invicem injuste facere asserunt, alii negant? quandoquidem illud, vir egregie, nec hominum nec deorum quisquam dicere audet, injustum *videlicet* pœnas dare non debere. EUTH. Ita; vera quidem summatim dicis, Socrates. SOC. At de unoquoque, opinor, eorum, quæ facta sunt, disceptant, Euthyphro, quicunque ambigunt, & homines & dii; si modo dii de aliqua *omnino* actione dissentientes disceptent, & alii quidem justam, alii vero injustam fuisse dicant: nonne hoc modo? EUTH. Omnino.

10. SOC. Age igitur, amice Euthyphro, me quoque, ut sapientior fiam, doce, quo potissimum argumento hoc tenes, deos omnes mercenarium

ἡγῶν) ἐκεῖνον ἀδίκως τεθνάναι, ὃς ἂν θητεύων ἀνδροφόνος γενόμενος, ξυνδεθεὶς ὑπὸ ὧν δεσπόζει ὧν ἀποθανόντος, φθάσῃ τελευτήσας διὰ τὰ δεσμά, πρὶν τὸν συνδήσαντα παρὰ τῶν ἐξηγητῶν περὶ αὐτῶν πυθέσθαι τί χρὴ ποιεῖν· καὶ ὑπὲρ ὧν τοιοῦτον δὴ ὀρθῶς ἔχει ἐπεξιέναι καὶ ἐπισκήπτειν φόνου τὸν υἱὸν τῷ πατρί. ἴθι, περὶ τούτων πειρῶ τι μοὶ σαφὲς ἐνδείξασθαι, ὡς παντὸς μᾶλλον πάντες θεοὶ ἡγῶν) ὀρθῶς ἔχειν ταύτην τὴν πρᾶξιν. κἄν μοι ἱκανῶς ἐνδείξῃ, ἐγκωμιάζων σε ἐπὶ σοφίᾳ οὐδέποτε παύσομαι. ΕΥΘ. Ἀλλ' ἴσως οὐκ ὀλίγον ἔργον ἐστὶν, ὦ Σώκρατες· ἐπεὶ πάνυ γε σαφῶς ἔχοιμι ἂν ἐπιδεῖξαί σοι. ΣΩΚ. Μανθάνω ὅτι σοι δοκῶ τῶν δικαστῶν δυσμαθέστερος εἶ). ἐπεὶ ἐκείνοις γε ἐνδείξῃ δηλονότι ὡς ἄδικά τέ ἐστι, καὶ οἱ θεοὶ πάντες τὰ τοιαῦτα μισοῦσιν. ΕΥΘ. Πάνυ γε σαφῶς, ὦ Σώκρατες· ἐάν γε ἀκούσωσί γέ μου λέγοντος.

ια'. ΣΩΚ. Ἀλλ' ἀκούσονται, ἐάν περ εὖ δοκῇς λέγειν. τόδε δέ σου ἐννενόηκα ἅμα λέγοντος, καὶ πρὸς ἐμαυτόν·

illum injuſte peremptum exiſtimare, qui, cum hominem interfeciſſet, ab interfecti domino vinctus, præ vinculis ante periit, quam, qui eum in vincula conjecerat, a ſacrorum interpretibus, quid de eo agendum eſſet, cognoſceret? atque adeo pro tali viro rectum eſſe, ut filius patrem proſequatur & cædis reum agat. Age, de rebus hiſce certi aliquid mihi demonſtrare conare, deos omnino omnes actionem hanc rectam exiſtimare; quod ſi mihi ſatis oſtenderis, nunquam ſapientiæ tuæ laudes prædicare deſiſtam. EUTH. At hoc forte non parvum opus eſt, Socrates; alioqui id quidem oſtendere plane tibi poſſem. SOC. Intelligo jam me judicibus tardiorem tibi videri: quippe cum conſtet te illis monſtraturum fore hæc injuſta eſſe, omneſque talia deos odiſſe. EUTH. Perſpicue prorſus, Socrates; ſi modo me dicentem audiant.

11. SOC. Atqui audient, ſi bene dicere illis videaris. Hoc autem loquente te ſimul cogi-

αὐτὸν σκοπῶ· εἰ ὅλως μάλιστά με Εὐθύφρων διδάξειεν ὡς οἱ θεοὶ ἅπαντες τὸν τοιοῦτον θάνατον ἠγοῦνται ἄδικον εἶναι, τί μᾶλλον ἐγὼ μεμάθηκα πρὸ Εὐθύφρονος, τί ποτ' ἐστὶ τὸ ὅσιόν τε καὶ τὸ ἀνόσιον; θεομισὲς μὲν γὰρ τοῦτο τὸ ἔργον, ὡς ἔοικεν, εἴη ἄν. ἀλλὰ γὰρ οὐ τούτῳ ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον καὶ μή. τὸ γὰρ θεομισὲς ἦν, καὶ θεοφιλὲς ἐφάνη. ὥστε τοῦτο μὲν ἀφίημί σε, ὦ Εὐθύφρον· καὶ, εἰ βούλει, πάντες αὐτὸ ἡγείσθωσαν θεοὶ ἄδικον, καὶ πάντες μισοῦντων. ἀλλ' [1]ἆρα τοῦτο νῦν ἐπανορθούμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν· ὃ δ' ἂν φιλῶσιν, ὅσιον· ὃ δ' ἂν οἱ μὲν φιλῶσιν, οἱ δὲ μισῶσιν, οὐδέτερα, ἢ ἀμφότερα. ἆρ' οὕτω βούλει ἡμῖν ὡρίσθαι νῦν περὶ τοῦ ὁσίου καὶ τοῦ ἀνοσίου; ΕΥΘ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; ΣΩΚ. Οὐδέν ἐμέ γε, ὦ Εὐθύφρον. ἀλλὰ σὺ δὴ ὃ σὸν σκόπει, εἰ τοῦτο οὕτω ῥᾳδίᾳ με διδάξεις ὑπέχου.

tavi, & apud me perpendo; quamvis vel maxime Euthyphro me doceret deos omnes hujuſmodi mortem injuſtam ducere, qui magis inde ab Euthyphrone didicero, quid ſanctum, & quid profanum ſit? Diis quidem inviſum, ut videtur, hoc opus ſit. Attamen exinde hæc minime definita eſſe paulo ante videbantur, quid ſanctum ſit, & quid non. Quod enim diis inviſum eſt, diis etiam amatum apparuit. Quamobrem hoc tibi, Euthyphro, remitto; &, ſi vis, dii omnes injuſtum putent, & oderint. Verum num hoc jam in ſermone ſic emendamus, ut quod dii *omnes* oderint, profanum; quod contra omnes ament, ſanctum ſit; quæ vero alii quidem ament, alii vero oderint, neutra ſint, vel ſimul ambo? num ita vis nunc a nobis de ſancto & profano definiri? EUTH. Quid, Socrates, prohibet? SOC. Nihil ſane me, Euthyphro: ſed tu, quod ad te attinet, cogita, utrum iſta ponens ſic facillime, quod pollicitus es, me ſis edocturus.

1 Forſan ἄρα *Steph.*

ΕΥΘ. Αλλ' ἔγωγε φαίην ἂν τοῦτο εἶναι τὸ ὅσιον, ὃ ἂν πάντες θεοὶ φιλῶσι· καὶ τὸ ἀνάπαλιν, ὃ ἂν πάντες θεοὶ μισῶσιν, ἀνόσιον. ΣΩΚ. Οὐκοῦν ὑπισκοπῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρων, εἰ καλῶς λέγεται; ἢ ἐῶμεν, καὶ οὕτως ἡμῖν τε αὐτῶν ἀποδεχώμεθα καὶ τοῖς ἄλλων, ἐὰν μόνον φῇ τις τὶ ἔχειν οὕτω, ξυγχωρησώμεθ' ἔχειν; ἢ σκεπτέον τί λέγει ὁ λέγων; ΕΥΘ. Σκεπτέον. οἶμαι μέντοι ἔγωγε τοῦτο νυνὶ καλῶς λέγεσθαι.

12. ΣΩΚ. Τάχ', ὦ ἄριστε, βέλτιον εἰσόμεθα. σὺνοησον γὰρ τὸ τοιόνδε· ἆρα τὸ ὅσιον, ὅτι ὅσιόν ἐστι, φιλεῖται ὑπὸ τῶν θεῶν· ἢ ὅτι φιλεῖται, ὅσιόν ἐστιν; ΕΥΘ. Οὐκ οἶδ' ὅ, τι λέγεις, ὦ Σώκρατες. ΣΩΚ. Ἀλλ' ἐγὼ πειράσομαι σαφέστερον φράσαι. λέγομέν τι φερόμενον καὶ φέρον, καὶ ἀγόμενον καὶ ἄγον, καὶ ὁρώμενον καὶ ὁρῶν, καὶ πάντα τὰ τοιαῦτα· μανθάνεις ὅτι ἕτερα ἀλλήλων ἐστὶ, καὶ ᾗ ἕτερα; ΕΥΘ.

EUTH. At ipſe quidem id ſanctum, quod dii omnes ament, eſſe ſtatuerem; profanum contra, quod dii omnes oderint. SOC. Nonne hoc etiam diſpicendum eſt, Euthyphro, utrum recte dicatur, *necne?* an ſinemus, atque id & nobis ipſis & aliis indulgebimus, ut ſi quis modo aliquid ita ſe habere dicat, id ita etiam ſe habere admittamus? an *potius* quidnam is, qui dicit, aſſerat, diſpiciendum. EUTH. Diſpiciendum certe: quanquam hoc nunc bene dictum exiſtimo.

12. SOC. Forſitan, vir bone, *iſthuc* melius intelligemus. Quiddam enim hujuſmodi cogita; utrum ſanctum, quia ſanctum eſt, a diis amatur; an quoniam a diis amatur, eſt ſanctum? EUTH. Haud intelligo quid dicas, Socrates. SOC. Ego vero id magis perſpicue explicare conabor. Dicimus, Id quod fertur & Quod fert, Id quod agitur & Quod agit, Id quod videtur & Quod videt, atque hujuſmodi cuncta: num *hæc* diverſa eſſe, & qua ratione diverſa ſint, intelligis? EUTH.

Εγωγέ μοι δοκῶ μανθάνειν. ΣΩΚ. Οὐκοῦν καὶ φιλούμενόν τι ἐστὶ, καὶ τούτου ἕτερον τὸ φιλοῦν; ΕΥΘ. Πῶς γὰρ οὔ; ΣΩΚ. Λέγε δή μοι, πότερον τὸ φερόμενον, διότι φέρεται, φερόμενόν ἐστιν, ἢ δι' ἄλλό τι; ΕΥΘ. Οὐκ· ἀλλὰ διὰ τοῦτο. ΣΩΚ. Καὶ τὸ ἀγόμενον δή, διότι ἄγεται· ἢ ὃ ὁρώμενον, διότι ὁρᾶται; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Οὐκ ἄρα διότι ὁρώμενόν γέ ἐστι, διὰ τοῦτο ὁρᾶται· ἀλλὰ τἀναντίον, διότι ὁρᾶται, διὰ τοῦτο ὁρώμενον. Οὐδὲ διότι ἀγόμενόν ἐστι, διὰ τοῦτο ἄγεται· ἀλλὰ διότι ἄγεται, διὰ τοῦτο ἀγόμενον. Οὐδὲ διότι φερόμενον, φέρεται· ἀλλὰ διότι φέρεται, φερόμενον. Ἆρα κατάδηλον, ὦ Εὐθύφρον, ὃ βούλομαι λέγειν; βούλομαι δὲ τόδε· ὅτι εἴτι γίγνεται, ἢ εἴτι πάσχει τι, οὐχ ὅτι γιγνόμενόν ἐστι, γίγνεται· ἀλλ' ὅτι γίγνεται, γιγνόμενόν ἐστιν· οὐδὲ ὅτι πάσχον ἐστὶ, πάσχει· ἀλλ' ὅτι πάσχει, πάσχον ἐστίν· ἢ οὐ ξυγχωρεῖς οὕτως; ΕΥΘ. Εγωγε.

Intelligere mihi videor. SOC. Nonne & Quod amatur aliquid eſt, & aliud ab eo diverſum Quod amat? EUTH. Quidni? SOC. Dic ergo mihi, Quod fertur, ideone, quia fertur, Id quod fertur eſt, an ob aliquid aliud? EUTH. Nequaquam; ſed ob hoc ipſum. SOC. Et Quod agitur ſimiliter, quia agitur; & Quod videtur, quia videtur? EUTH. Maxime. SOC. Non ergo quoniam eſt Id quod videtur, hac de cauſa videtur; ſed contra, ideo quoniam videtur, hac de cauſa eſt Id quod videtur. Neque quoniam eſt Id quod agitur, hac de cauſa agitur; ſed quoniam agitur, ideo eſt Id quod agitur. Neque quoniam Id quod fertur eſt, propterea fertur; ſed quoniam fertur, ideo eſt Id quod fertur. Nonne perſpicuum eſt, Euthyphro, quid dicere velim? volo autem hoc; ſi quid fit, aut patitur aliquid, non, quia Id quod fit eſt, fit; ſed, quia fit, *potius* Id quod fit eſt: nec etiam, quia Patiens eſt, patitur; ſed quia patitur, eſt Patiens: annon admittis hæc? EUTH. *Admitto* equidem.

ΣΩΚ. Οὐκοῦν καὶ τὸ φιλούμενον, ἢ γιγνόμενόν τι ὄ ἐστιν, ἢ πάσχον τι ὑπό του; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Καὶ τοῦτο ἄρα οὕτως ἔχει, ὥσπερ τὰ πρόσθεν. οὐχ ὅτι φιλούμενόν ἐστι, φιλεῖται ὑπὸ ὧν φιλεῖται· ἀλλ' ὅτι φιλεῖται, φιλούμενον. ΕΥΘ. Ἀνάγκη. ΣΩΚ. Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου, ὦ Εὐθύφρον; ἀλλ' ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν πάντων, ὡς ὁ σὸς λόγος; ΕΥΘ. Ναί. ΣΩΚ. Ἆρα διὰ τοῦτο, ὅτι ὅσιόν ἐστιν, ἢ δι' ἄλλό τι; ΕΥΘ. Οὐκ· ἀλλὰ διὰ τοῦτο. ΣΩΚ. Διότι ἄρα ὅσιόν ἐστι, φιλεῖται· ἀλλ' οὐχ ὅτι φιλεῖται, διὰ τοῦτο ὅσιόν ἐστιν. ΕΥΘ. Ἔοικε. ΣΩΚ. Ἀλλὰ μήν, διότι φιλεῖται ὑπὸ τῶν θεῶν, φιλούμενόν ἐστι καὶ θεοφιλές. ΕΥΘ. Πῶς γὰρ οὔ; ΣΩΚ. Οὐκ ἄρα ὃ θεοφιλὲς ὅσιόν ἐστιν, ὦ Εὐθύφρον, οὐδὲ τὸ ὅσιον θεοφιλές, ὡς σὺ λέγεις· ἄλλο ἕτερον τοῦτο τούτου. ΕΥΘ. Πῶς δή, ὦ Σώκρατες; ΣΩΚ. Ὅτι ὁμολογοῦμεν ὃ μὴ ὅσιον διὰ τοῦτο φιλεῖσθαι, ὅτι ὅ-

SOC. Nonne & Id quod amatur, aut Quod fit eſt, aut Quod ab aliquo quid patitur? EUTH. Prorſus. SOC. Hoc igitur eodem modo, quo ſuperiora ſe habet: non quia Id quod amatur eſt, amatur a quibus amatur; ſed quia amatur, ideo Id quod amatur eſt. EUTH. Neceſſe. SOC. Quid itaque de ſancto dicimus, Euthyphro? nonne id ab omnibus diis amari, ut tua fert oratio? EUTH. Imo. SOC. An ob hoc, quod ſanctum eſt, an ob aliud quiddam? EUTH. Minime; ſed ob hoc ipſum. SOC. Ergo quoniam ſanctum eſt, amatur; non quoniam amatur, eſt ſanctum. EUTH. Videtur. SOC. At vero quoniam a diis amatur, ideo Id quod amatur eſt, atque diis amatum. EUTH. Quidni? SOC. Non ergo diis amatum ſanctum eſt, Euthyphro, neque ſanctum diis amatum, ut tu ais; ſed hoc aliud eſt ab illo. EUTH. Quanam ratione, Socrates, *id dicis?* SOC. Quoniam confitemur ſanctum ideo amari, quia ſan-

σιόν ἐστιν· ἀλλ' ὅ, διότι φιλεῖται, ὅσιον ἐστί· ἢ γάρ; ΕΥΘ. Ναί. ΣΩΚ. Τὸ δέ γε θεοφιλὲς, ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν, διὰ τοῦτο τὸ φιλεῖσθαι, θεοφιλὲς εἶναι· ἀλλ' οὐχ ὅτι θεοφιλὲς, διὰ τοῦτο φιλεῖσθαι. ΕΥΘ. Ἀληθῆ λέγεις. ΣΩΚ. Ἀλλ' εἴγε ταυτόν, ὦ φίλε, ἦν, Εὐθύφρον, τὸ θεοφιλὲς καὶ τὸ ὅσιον, εἰ μὲν διὰ τὸ ὅσιον εἶναι, ἐφιλεῖτο τὸ ὅσιον, καὶ διὰ τὸ θεοφιλὲς εἶναι, ἐφιλεῖτο ἂν τὸ θεοφιλές. εἰ δὲ διὰ τὸ φιλεῖσθαι ὑπὸ θεῶν τὸ θεοφιλὲς, θεοφιλὲς ἦν, καὶ τὸ ὅσιον ἄν, διὰ τὸ φιλεῖσθαι, ὅσιον ἦν. νῦν δὲ ὁρᾷς ὅτι ἀνάπαλιν ἔχετον, ὡς παντάπασιν ἕτερα ὄντε ἀλλήλων. τὸ μὲν γάρ, ὅτι φιλεῖται, ἐστὶν οἷ φιλεῖσθαι· τὸ δ', ὅτι ἐστὶν οἷον φιλεῖσθαι, διὰ τοῦτο φιλεῖται. καὶ κινδυνεύεις, ὦ Εὐθύφρον, ἐρωτώμενος τὸ ὅσιον, ὅ, τι ποτέ ἐστι, τὴν μὲν οὐσίαν μοι αὐτοῦ οὐ βούλεσθαι δηλῶσαι, πάθος δέ τι περὶ αὐτὸ λέγειν, ὅ, τι πέπονθε τοῦτο τὸ ὅσιον, φιλεῖσθαι ὑπὸ πάν-

ctum eſt; non quia amatur, eſſe ſanctum: nonne? EUTH. Certe. SOC. Diis autem amatum, eo ipſo quod a diis amatur, diis amatum eſſe; non vero, quia diis amatum eſt, ideo amari. EUTH. Vera loqueris. SOC. Verum ſi, amice Euthyphro, idem eſſet diis amatum atque ſanctum, tunc ſiquidem ſanctum, quia ſanctum eſt, a diis amaretur, diis etiam amatum, quia diis amatum eſt, amaretur. Sin vero diis amatum, quia amatur a diis, diis amatum eſſet, ſanctum etiam, quia amatur, ſanctum eſſet. Nunc autem vides iſta modo ſibi invicem contrario ſe habere, utpote quæ omnino inter ſe diverſa ſint. Hoc enim, *nempe diis amatum*, quia amatur, tale eſt ut ametur; illud autem, *nempe ſanctum*, quia tale eſt ut ametur, ideo amatur. Videriſque, Euthyphro, quum a te quidnam ſanctum ſit quæreretur, eſſentiam illius oſtendere noluiſſe, ſed affectionem quandam ipſius, quæ ſancto huic accidit, dixiſſe, ab omnibus

πων τῶν θεῶν· ὅ, τι δὲ ὂν, οὔπω εἶπες. εἰ οὖν σοι φίλον, μή με ἀποκρύψῃ, ἀλλὰ πάλιν εἰπὲ ἐξ ἀρχῆς, τί ποτε ὂν τὸ ὅσιον, εἴτε φιλεῖται ὑπὸ τῶν θεῶν, εἴτε ὁτιδὴ πάσχει. οὐ γὰρ περὶ τούτου διοισόμεθα· ἀλλ' εἰπὲ προθύμως τί ὄφι τό, τε ὅσιον καὶ ἀνόσιον. ΕΥΘ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω ἔγωγε ὅπως σοι εἴπω ὃ νοῶ. περιέρχεταί γέ πως ἀεὶ ἡμῖν ὃ ἂν ὑποθώμεθα, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἂν ἱδρυσώμεθα αὐτό. ΣΩΚ. Τοῦ ἡμετέρου προγόνου, ὦ Εὐθύφρον, ἔοικεν εἶναι Δαιδάλου τὰ ὑπὸ σοῦ λεγόμενα. καὶ εἰ μὲν αὐτὰ ἐγὼ ἔλεγον καὶ ἐτιθέμην, ἴσως ἄν με ἐπέσκωπτες, ὡς ἄρα καὶ ἐμοὶ κατὰ τὴν ἐκείνου συγγένειαν τὰ ἐν τοῖς λόγοις ἔργα ἀποδιδράσκει, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἄν τις αὐτὰ θῇ. νῦν δὲ (σαὶ γὰρ αἱ ὑποθέσεις εἰσὶν) ἄλλου δή τινος δεῖ σκώμματος. οὐ γὰρ ἐθέλουσί σοι μένειν, ὡς καὶ αὐτῷ σοι δοκεῖ. ΕΥΘ. Ἐμοὶ δὲ δοκεῖ πάνυ τι γ' αὖ

videlicet diis amari; quidnam autem ipſum ſit, nondum explicuiſti. Si itaque tibi placet, ne me celes, verum a principio rurſus definias, quidnam ipſum ſanctum ſit, ſive a diis ametur, ſeu aliud quidvis patiatur. Neque enim de hoc a nobis invicem diſſidebimus: ſed prompto jam animo dicas, quid ſanctum ſit, & quid profanum. EUTH. Atqui, Socrates, quomodo tibi quod ſentio exprimam, neſcio. Semper enim quicquid poſuerimus, circumvagatur, neque conſiſtere vult ubi ſiſtimus. SOC. Proavi noſtri Dædali, Euthyphro, opera eſſe, quæ dixiſti, videntur. Et ſi ego illa dixiſſem atque poſuiſſem, forſan me irriſiſſes, tanquam mihi quoque ex meæ cum illo cognationis vi, *ſuarum ad inſtar ſtatuarum*, mea in dicendo opera aufugerent, neque permanere vellent, ubi quis illa collocaſſet: nunc autem (tuæ etenim iſtæ ſunt hypotheſes) alio quodam opus eſt dicterio. Non enim tibi permanere volunt, ut tibi ipſi quoque videtur. EUTH. Mihi vero videntur, Socrates, quæ dicta ſunt

σκώμματος, ὦ Σώκρατες, δεῖαι τὰ λεγόμενα. τὸ γὰρ περιϊέναι αὐτοῖς τοῦτο, καὶ μὴ μένειν ἐν ταυτῷ, ὃν ἔγωγέ εἰμι ὁ ἐνθυμηθείς· ἀλλὰ σύ μοι δοκεῖς ὁ Δαίδαλος. ἐπεὶ ἐμοῦ γε ἕνεκα ἔμενεν ἂν ταῦτα ὅπως. ΣΩΚ. Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου δ' ἀνδρὸς δεινότερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν τὰ αὐτοῦ μόνον ἐποίει οὐ μένοντα· ἐγὼ δὲ πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τὰ ἀλλότρια. καὶ δῆτα τοῦτό μοι τῆς τέχνης ἐστὶ κομψότατον, ὅτι ἄκων εἰμὶ σοφός. ἐβουλόμην γὰρ ἂν μοι σοὶ λόγοις μένειν, καὶ ἀκινήτοις ἱδρύσθαι, μᾶλλον ἢ πρὸς τῇ Δαιδάλου σοφίᾳ τὰ Τανταλου χρήματα γενέσθαι. καὶ τούτων μὲν ἄδην.

ιγ'. Ἐπειδὴ δέ μοι δοκεῖς σὺ τρυφᾶν, αὐτός σοι ξυμπροθυμήσομαι δεῖξαι, ὅπως ἄν με διδάξῃς περὶ ὅσίου, καὶ μὴ προαποκάμῃς. ἴδε γάρ, εἰ ὃν ἀναγκαῖόν σοι δοκεῖ δίκαιον εἶναι πᾶν ὅ ὅσιον. ΕΥΘ. Ἔμοιγε. ΣΩΚ. Ἆρ' οὖν καὶ πᾶν ὅ δίκαιον, ὅσιον;

eodem pene dicterio notari debere. Quod enim illa circumvagantur, nec in eodem loco conſiſtunt, ego minime in cauſa ſum; ſed tu mihi Dædalus ille videris. Quantum enim in me eſt, hæc ita, *ut poſita erant*, manſiſſent. SOC. Videor igitur, amice, illo hac in arte tanto præſtantior, quod ille ſua ſolum inſtabilia reddebat; ego autem præter mea, ut apparet, etiam aliena. Idque porro mihi eſt in arte *mea* lepidiſſimum, quod invitus ſim ſapiens. Mallem enim rationes mihi manere, immobileſque conſiſtere, quam ut ad Dædali ſapientiam Tantali quoque divitiæ mihi accederent. Atque de his quidem abunde eſt.

13. Cum vero mihi delicias facere videris, ego tecum una oſtendere enitar, quomodo me ſancti naturam doceas, nec prius animo deficias. Vide enim, an non tibi neceſſarium videatur omne ſanctum eſſe juſtum. EUTH. Mihi quidem. SOC. Numquid igitur & omne juſtum, ſanctum?

ἢ τὸ μὴ ὅσιον πᾶν, δίκαιον· τὸ γὴ δίκαιον, ὃ πᾶν ὅσιον, ἀλλὰ τὸ μὲν ἀυτῦ ὅσιον, τὸ δέ τι καὶ ἄλλο; ΕΥΘ. Οὐκ ἕπομαι, ὦ Σώκρατες, τοῖς λεγομένοις. ΣΩΚ. Καὶ μὴν νεώτερός γ' ἐμοῦ εἶ, οὐκ ἐλαττον ἢ ὅσῳ σοφώτερος· ἀλλ', ὁ λέγω, τρυφᾷς ὑπὸ πλούτου τ σοφίας. ἀλλ', ὦ μακάριε, ξύνελκε σαυτόν. ℭ γὰρ οὐδὲ χαλεπὸν καταπῶσαι ὁ λέγω. λέγω γὸ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν, ὁ ποιήσας,

Ζῆνα δὲ τ' ἔρξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
Οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὸ δέος, ἔνθα καὶ αἰδώς.

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ. εἴπω σοι ὅπη; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Οὐ δοκεῖ μοι εἶναι, ἵνα δέος, ἔνθα καὶ αἰδώς. πολλοὶ γάρ μοι δοκοῦσι, καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες, δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα, ἃ δεδίασιν. οὐ καί σοι δοκεῖ; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος ἔστιν. ἐπεὶ

an *potius* omne ſanctum, juſtum; juſtum vero, non omne quidem ſanctum, ſed partim ſanctum, partim aliud quiddam? EUTH. Ea, quæ dicis, Socrates, haud aſſequor. SOC. Atqui junior me nihilo minus quam ſapientior es, ſed, ut dico, delicias facis præ ſapientiæ copia. At, vir beate, teipſum collige: non enim difficile eſt quod dico intelligere. Contra enim ſtatuo quam poeta, qui dicit,

Jovem vero auctorem, quique hæc omnia produxit,
Non vis dicere: ubicunque enim timor, ibi & pudor.

Ego autem a poeta hoc diſcrepo: vis quo *diſcrepo*, tibi dicam? EUTH. Prorſus. SOC. Non videtur mihi, ubicunque timor eſt, ibi etiam pudor exiſtere. Nam multi mihi videntur, qui paupertatem ac morbos cæteraque hujuſmodi multa metuerunt, timere quidem, nullo tamen eorum pudore affici, quæ timent. Nonne tibi idem videtur? EUTH. Prorſus. SOC. At ubicunque pudor, ibi & timor eſſe. Num

ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ φοβεῖται τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; ΕΥΘ. Δέδοικε μὲν οὖν. ΣΩΚ. Οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ', ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος. οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς. ὀπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. μόριον γὰρ δέους αἰδώς, ὥσπερ ἀριθμοῦ, τοῦτο. ὥστε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν· ἵνα δὲ τοῦτο, ἔνθα καὶ ἀριθμός. ἔπει γάρ που νῦν γε; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Τὸ τοιοῦτον τοίνυν καὶ ἐκεῖ λέγων ἠρώτων, ἆρα ἵνα δίκαιον, ἔνθα καὶ ὅσιον· ἢ ἵνα μὲν ὅσιον, ἔνθα καὶ δίκαιον· ἵνα δὲ δίκαιον, οὐ πανταχοῦ ὅσιον. μόριον γάρ τοῦ δικαίου τὸ ὅσιον. οὕτω φῶμεν, ἢ ἄλλως σοι δοκεῖ; ΕΥΘ. Οὐκ· ἀλλ' οὕτω. φαίνῃ γάρ μοι ὀρθῶς λέγειν.

ιδ'. ΣΩΚ. Ὅρα δὴ τὸ μετὰ τοῦτο. εἰ γὰρ μόριόν ἐστι τὸ ὅσιον

enim quiſquam eſt, qui pudore affectus atque erubeſcens, opinionem ſimul improbitatis non formidet ac pertimeſcat? EUTH. Formidat certe. SOC. Haud igitur recte dicitur, ubi enim timor, ibi & pudor; ſed ubi pudor, ibi & timor: neque enim ubicunque timor, ibi etiam pudor. Latius enim patet, ut arbitror, timor quam pudor: ſiquidem pars timoris pudor eſt, quemadmodum numeri *pars eſt* impar. Ideoque non ubicunque numerus, ibi & impar; ubi tamen impar, ibi & numerus eſt: anne me nunc aſſequeris? EUTH. Maxime. SOC. Tale igitur quidnam etiam ſupra volebam, cum percontabar, utrum ubi juſtum, ibi & ſanctum; an ubi ſanctum, ibi & juſtum: ubi tamen juſtum, non ſemper ſanctum. Pars quippe juſti ſanctum eſt. Itane igitur, an aliter dicendum videtur? EUTH. Non *aliter*; ſed ita: recte enim dicere videris.

14. SOC. Vide ergo quod ſequitur. Si enim ſanctum juſti

τοῦ δικαίου, δεῖ δή ἡμᾶς, ὡς ἔοικεν, ἐξευρεῖν ὅ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. εἰ μὲν οὖν σύ με ἠρώτας τι τῶν νῦν δή, οἷον, ποῖον μέρος ἐστὶν ἀριθμοῦ τὸ ἄρτιον, καὶ τίς ὢν τυγχάνει οὗτος ὁ ἀριθμός· εἶπον ἂν οἶμαι ὅς ἂν μὴ σκαληνὸς ᾖ, ἀλλ' ἰσοσκελής. ἢ οὐ δοκεῖ σοι; ΕΥΘ. Ἔμοιγε. ΣΩΚ. Πειρῶ δὴ καὶ σὺ ἐμὲ οὕτω διδάξαι, τὸ ποῖον μέρος τοῦ δικαίου ὅσιόν ἐστι· ἵνα καὶ Μελίτῳ λέγωμεν μηκέθ' ἡμᾶς ἀδικεῖν, μηδ' ἀσεβείας γράφεσθαι, ὡς ἱκανῶς ἤδη παρὰ σοῦ μεμαθηκότας τά τε εὐσεβῆ καὶ ὅσια, καὶ τὰ μή. ΕΥΘ. Τοῦτο τοίνυν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, τὸ μέρος τοῦ δικαίου εἶναι εὐσεβές τε καὶ ὅσιον, τὸ περὶ τὴν τῶν θεῶν θεραπείαν· τὸ δὲ περὶ τὴν τῶν ἀνθρώπων, τὸ λοιπὸν εἶναι τοῦ δικαίου μέρος.

ιε'. ΣΩΚ. Καὶ καλῶς γέ μοι, ὦ Εὐθύφρον, φαίνῃ λέγειν· ἀλλὰ σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. τὴν γὰρ θεραπείαν οὔπω ξυνίημι ἥντινα ὀνομάζεις. οὐ γάρ που λέγεις, οἵαπερ καὶ αἱ περὶ τἆλ-

pars eſt, oportet nos, ut appareat, qualis juſti pars ſanctum ſit, invenire. Si tu ergo me aliquid prædictorum interrogares, puta par, qualis pars numeri, & quis iſte numerus ſit; reſponderem profecto, eum non ſcalenum eſſe, ſed iſoſcelem: annon idem tibi videtur? EUTH. Mihi certe. SOC. Conare igitur tu quoque me ita docere, qualis juſti pars ſanctum ſit, ut & Melito denuntiemus ne nos amplius injuria afficiat, nec impietatis accuſet, quippe cum abs te quæ pia, quæ ſancta, & quæ non, ſatis jam didicerimus. EUTH. Hanc igitur ego juſti partem, Socrates, ſanctum & pium eſſe reor, quæ *ſcilicet* circa deorum cultum *verſatur*; eam vero, quæ ad hominum *cultum pertinet*, reliquam eſſe juſtitiæ partem.

15. SOC. Et recte quidem, Euthyphro, mihi dicere videris; ſed parva adhuc re quadam indigeo: quem enim cultum velis, nondum intelligo. Non enim certe dicis hunc cultum, qui ad deos ſpectat, talem eſ-

ἄλλα θεραπεῖαί εἰσι, τοιαύτην καὶ περὶ θεούς. λέγομεν γάρ που οὐ φαμέν, ἵππους ὑπ' πᾶς ἐπίσασθαι θεραπεύειν, ἀλλ' ὁ ἱππικός. ἢ γάρ; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Ἡ γάρ που ἱππικὴ, ἱππων θεραπεία. ΕΥΘ. Ναί. ΣΩΚ. Οὐδέ γε κύνας πᾶς ἐπίσασθαι θεραπεύειν, ἀλλ' ὁ κυνηγετικός. ΕΥΘ. Οὕτω. ΣΩΚ. Ἡ γάρ που κυνηγετικὴ, κυνῶν θεραπεία. ΕΥΘ. Ναί. ΣΩΚ. Ἡ δέ γε βουλατικὴ, βοῶν. ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Ἡ δὴ ὁσιότης τε καὶ εὐσέβεια, θεῶν, ὦ Εὐθύφρον. οὕτω λέγεις; ΕΥΘ. Ἔγωγε. ΣΩΚ. Οὐκοῦν θεραπεία [1] τε πᾶσα ταυτὸν διαπράττει, οὗ [2] τοιόνδε ἑπ' ἀγαθῷ τινὶ ἔσαι καὶ ὠφελεία ὧν θεραπευομένων. ὥσπερ ὁρᾷς δὴ ὅτι οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς θεραπευόμενοι ὠφελοῦνται καὶ βελτίους γίγνονται. ἢ οὐ δοκοῦσί σοι; ΕΥΘ. Ἔμοιγε. ΣΩΚ. Καὶ οἱ κύνες γέ που, ὑπὸ τῆς κυνηγετικῆς, καὶ οἱ βόες, ὑπὸ τῆς βουλατικῆς, καὶ τἆλλα πάντα ὡσαύτως. ἢ ὀΐει

se, quales ii, qui ad res alias. Exempli cauſa dicimus; non quivis equos colere novit, ſed *ſolummodo* rei equeſtris peritus: an non? EUTH. Prorſus. SOC. Equeſtris ergo peritia equorum cultus eſt. EUTH. Ita. SOC. Nec quilibet novit canes colere, ſed canum inſtituendorum peritus. EUTH. Ita eſt. SOC. Ergo canum inſtituendorum peritia eſt canum cultus. EUTH. Imo. SOC. Et boum agendorum peritia boum *cultus eſt*. EUTH. Omnino. SOC. Sanctitas autem ac pietas, Euthyphro, *cultus* deorum. Itane aſſeris? EUTH. Aſſero. SOC. Nempe ergo cultus omnis idem præſtat, aliquid hujuſmodi *videlicet*, quod in bonum & utilitatem cedet ei, quod colitur: quemadmodum equos vides, qui rei equeſtris peritia coluntur, juvari, ac meliores evadere: an non ita videntur? EUTH. Mihi certe. SOC. Et canes item & boves ab iis artibus, quæ ad eos pertinent, ac reliqua cuncta ſimiliter. An vero

1 Forſan γε *Steph.* 2 Forſ. τοιόνδε, ὃ ἐπ' *Steph.*

βλάβῃ οἴει τῷ θεραπευομένῳ τὴν θεραπείαν εἶναι; ΕΥΘ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩΚ. Ἀλλ' ἐπ' ὠφελείᾳ; ΕΥΘ. Πῶς δ' οὔ; ΣΩΚ. Ἡ οὖν καὶ ἡ ὁσιότης θεραπεία οὖσα θεῶν, [1] ὠφελεία τέ ἐστι θεῶν, καὶ βελτίους τοὺς θεοὺς ποιεῖ; καὶ σὺ τοῦτο ξυγχωρήσαις ἂν, ὡς ἐπειδάν τι ὅσιον ποιῇς, βελτίω τινὰ τῶν θεῶν ἀπεργάζῃ; ΕΥΘ. Μὰ Δί' οὐκ ἔγωγε. ΣΩΚ. Οὐδὲ γὰρ ἐγὼ, ὦ Εὐθύφρων, οἶμαί σε τοῦτο λέγειν· πολλοῦ καὶ δέω. Ἀλλὰ τούτου δὴ ἕνεκα καὶ ἀνηρόμην, ἵνα ποτὲ λέγεις τὴν θεραπείαν τῶν θεῶν, οὐχ ἡγούμενός σε τοιαύτην λέγειν. ΕΥΘ. Καὶ ὀρθῶς γε, ὦ Σώκρατες. οὐ γὰρ τοιαύτην λέγω. ΣΩΚ. Εἶεν. Ἀλλὰ τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης; ΕΥΘ. Ὑπερ, ὦ Σώκρατες, οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσι. ΣΩΚ. Μανθάνω. ὑπηρετική τις ἂν, ὡς ἔοικεν, εἴη θεοῖς. ΕΥΘ. Πάνυ μὲν οὖν.

in damnum ejus, quod colitur, cultum cedere putas? EUTH. Non per Jovem. SOC. In utilitatem vero? EUTH. Quidni? SOC. Sanctitas itaque, cum deorum cultus sit, diisne etiam prodest, ac eos meliores efficit? atque hoc tu quidem concederes, te, cum sanctum quippiam peragas, deorum aliquem meliorem reddere? EUTH. Non sane per Jovem. SOC. Neque ego, Euthyphro, id te dicere arbitror; multum certe abest: sed hac de causa te rogabam, qualemnam cultum deorum diceres, non existimans hujusmodi quendam te dicere. EUTH. Et recte quidem, Socrates: non enim talem dico. SOC. Esto: sed quinam tandem deorum cultus sanctitas erit? EUTH. Quo, Socrates, servi dominos colunt. SOC. Intelligo: administra quædam diis *facultas*, ut videtur, *hic cultus* erit. EUTH. Prorsus.

1 Forsan ἐπ' ὠφελείᾳ. *Steph.*

ις'. ΣΩΚ. Ἐχοις ἂν οὖν εἰπεῖν, ἡ ἰατροῖς ὑπηρετικὴ, εἰς τίνος ἔργου ἀπεργασίαν τυγχάνει οὖσα ὑπηρετική; Οὐκ εἰς ὑγιείας, οἴει; ΕΥΘ. Ἔγωγε. ΣΩΚ. Τί δὲ; ἡ ναυπηγοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετική ἐστι; ΕΥΘ. [1]Δηλονότι, ὦ Σώκρατες, εἰς πλοίου. ΣΩΚ. Καὶ ἡ οἰκοδόμοις γέ που, εἰς οἰκίας; ΕΥΘ. Ναί. ΣΩΚ. Εἰπὲ δή, ὦ ἄριστε· ἡ δὲ θεοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετικὴ ἂν εἴη; δῆλον γὰρ ὅτι σὺ οἶσθα, ἐπειδήπερ τάγε θεῖα κάλλιστα φὴς εἰδέναι ἀνθρώπων. ΕΥΘ. Καὶ ἀληθῆ γε λέγω, ὦ Σώκρατες. ΣΩΚ. Εἰπὲ δή πρὸς Διὸς, τί ποτ' ἐστὶν ἐκεῖνο τὸ πάγκαλον ἔργον, ὃ οἱ θεοὶ ἀπεργάζονται, ἡμῶν ὑπηρέταις χρώμενοι. ΕΥΘ. Πολλὰ μὲν καλὰ, ὦ Σώκρατες. ΣΩΚ. Καὶ γὰρ οἱ στρατηγοὶ, ὦ φίλε· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ῥᾳδίως ἂν εἴποις, ὅτι νίκην ἐν τῷ πολέ-

16. SOC. Poteſne igitur dicere, *facultas* medicis adminiſtra, ad quodnam opus efficiendum adminiſtra ſit? nonne ad ſanitatem, putas? EUTH. Ad hanc ipſam. SOC. Quid vero? *facultas* adminiſtra iis, qui naves conſtruunt, ad quid efficiendum illis adminiſtra ſit? EUTH. Procul dubio, Socrates, ad navem. SOC. Et quæ domorum ædificatoribus, ad domum *conſtruendam*? EUTH. Certe. SOC. Dic itaque, vir optime; *facultas* illa diis adminiſtra ad quodnam opus efficiendum adminiſtra ſit? Manifeſtum enim eſt te ſcire, quippe qui divina te noſſe præ cæteris mortalibus affirmes. EUTH. Et vera quidem dico, Socrates. SOC. Dic ergo per Jovem, quodnam illud eſt præclariſſimum opus, quod dii, noſtro miniſterio uſi, efficiunt. EUTH. Multa ac pulchra, Socrates. SOC. Exercituum quoque duces, amice, *multa & pulchra efficiunt*: veruntamen earum rerum, *quas iſti faciunt*, ſummam facile diceres, eos *ſcilicet* in bel-

1 Forſan. Δῆλον ὅτι *Steph.*

μῳ. ἀπεργάζονται. ἢ οὔ; ΕΥΘ. Πῶς δ' οὔ; ΣΩΚ. Πολλὰ γε οἶμαι καὶ καλὰ καὶ οἱ γεωργοί· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ἐστι τῆς ἀπεργασίας, ἡ ἐκ τῆς γῆς τροφή. ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Τί δὲ δή; τῶν πολλῶν καὶ καλῶν, ἃ οἱ θεοὶ ἀπεργάζονται, τί τὸ κεφάλαιόν ἐστι τῆς ἀπεργασίας; ΕΥΘ. Καὶ ὀλίγον σοι πρόσθεν εἶπον, ὦ Σώκρατες, ὅτι πολύπονόν ἐστιν ἀκριβῶς ταῦτα πάντα ὡς ἔχει μαθεῖν· τόδε μέντοι σοι ἁπλῶς λέγω, ὅτι ἐὰν μέν τις κεχαρισμένα τις ὑπίσηται τοῖς θεοῖς λέγειν τε καὶ πράττειν, εὐχόμενός τε καὶ θύων, ταῦτ' ἐστὶ τὰ ὅσια· καὶ σώζει τὰ τοιαῦτα τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ τῶν πόλεων· τὰ δ' ἀνάπαλιν τῶν κεχαρισμένων, ἀσεβῆ, ἃ δὴ καὶ ἀνατρέπει ἅπαντα καὶ ἀπόλλυσι.

ιζ'. ΣΩΚ. Ἦ πολύ μοι ῥᾳδιώτερον, ὦ Εὐθύφρων, εἰ ἐβούλου, εἶπες ἂν τὸ κεφάλαιον ὧν ἠρώτων. ἀλλὰ γὰρ ὡς οὐ πρόθυμός με εἶ διδάξαι δῆλος εἶ. καὶ νῦν

lo victoriam reportare: an non? EUTH. Quidni? SOC. Multa quidem atque pulchra, ut arbitror, *efficiunt* & agricolæ: ſumma tamen illorum eſt, ut ex terra alimenta colligant. EUTH. Prorſus. SOC. Quid ergo? multorum pulchrorumque facinorum, quæ dii perficiunt, quænam ſumma exiſtit? EUTH. Etiam paulo ante dixi, Socrates, nimis longi operis eſſe hæc omnia perfecte ediſcere; hoc autem nunc tibi ſimpliciter dico, quod ſi quis grata diis agere & loqui noverit, precans atque ſacrificans, hæc ſancta ſunt; atque talia tum domos proprias tum civitates conſervant: contraria vero iis quæ *diis* grata ſunt, impia ſunt, atque hæc quidem omnia evertunt ac perdunt.

17. SOC. Paucioribus admodum, Euthyphro, ſi voluiſſes, ſummam eorum, quæ rogabam, explicuiſſes. Sed ſatis apparet, quam non ſis prompto ad me docendum animo. Ete-

νῦν ἐπειδὴ ἐπ' ἀμφὶ ἦθα, ἀπετρέπω· ὁ εἰ ἀπεκείνω, ἴσως ἂν ἤδη παρὰ σοῦ τὴν ὁσιότητα ἐμεμαθήκειν. νῦν δὴ (ἀνάγκη γὰρ τὸν ἐρωτῶντα τῷ ἐρωτωμένῳ ἀκολουθεῖν, ὅπη ἂν ἐκεῖνος ἀνάγῃ) τί δὴ αὖ λέγεις τὸ ὅσιον εἶναι καὶ τὴν ὁσιότητα; οὐχὶ ἐπιστήμην τινὰ τοῦ θύειν τε καὶ εὔχεσθαι; ΕΥΘ. Ἔγωγε. ΣΩΚ. Οὐκοῦν τὸ θύειν, δωρεῖσθαί ἐστι τοῖς θεοῖς· τὸ δ' εὔχεσθαι, αἰτεῖν τοὺς θεούς; ΕΥΘ. Καὶ μάλα, ὦ Σώκρατες. ΣΩΚ. Ἐπιστήμη ἄρα αἰτήσεως καὶ δόσεως θεοῖς ἡ ὁσιότης ἂν εἴη, ἐκ τούτου τοῦ λόγου. ΕΥΘ. Πάνυ καλῶς, ὦ Σώκρατες, ξυνῆκας ὃ εἶπον· ΣΩΚ. Ἐπιθυμητὴς γάρ εἰμι, ὦ φίλε, τῆς σῆς σοφίας, καὶ προσέχω τὸν νοῦν αὐτῇ· ὥστε οὐ χαμαί ποτε πεσεῖται ὅ, τι ἂν εἴπῃς. ἀλλά μοι λέξον, τίς αὕτη ἡ ὑπηρεσία ἐστὶ τοῖς θεοῖς. αἰτεῖν τε φὴς αὐτοὺς καὶ διδόναι ἐκείνοις; ΕΥΘ. Ἔγωγε.

ιή. ΣΩΚ. Ἆρ' οὖν ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεόμεθα

nim modo, cum ad hoc acceſſiſſes, reſiliebas; quod ſi reſpondiſſes, fortaſſis dudum ſanctitatem a te didiciſſem: nunc autem (neceſſe eſt enim interrogantem interrogatum ſequi, quacunque ducit) quid tandem dicis ſanctum eſſe, atque ſanctitatem? nonne ſcientiam quandam ſacrificandique & precandi? EUTH. Equidem. SOC. Nonne ſacrificare, eſt munera diis offerre; precari autem, a diis petere? EUTH. Et maxime quidem, Socrates. SOC. Scientia ergo diis dandi, & *ab iis* petendi, hoc quidem pacto ſanctitas erit. EUTH. Perpulchre, Socrates, quod dicebam intellexiſti. SOC. Avidus etenim ſum, amice, ſapientiæ tuæ, mentemque ei adhibeo; ideoque nihil eorum quæ dicas incaſſum unquam excidet. At mihi dicas, quodnam hoc eſt miniſterium erga deos. An *id eſſe* dicis, ab iis *ſcilicet* petere & iis dare? EUTH. Certe.

18. SOC. Recte ab illis petere, nonne ergo eſt ea

παρ' ἐκείνων, ταῦτα αὐτοὺς αἰτεῖν; ΕΥΘ. Αλλο τί; ΣΩΚ. Καὶ αὖ τὸ διδόναι ὀρθῶς, ὧν ἐκεῖνοι τυγχάνουσι δέομενοι παρ' ἡμῶν, ταῦτα ἐκείνοις αὖ ἀντιδωρεῖσθαι; οὐ γάρ που τεχνικόν γ' ἂν εἴη δωροφορεῖν διδόντα τῷ ταῦτα, ὧν οὐδὲν δεῖται. ΕΥΘ. Αληθῆ λέγεις, ὦ Σώκρατες. ΣΩΚ. Εμπορικὴ ἄρα τις ἂν εἴη, ὦ Εὐθύφρων, τέχνη ἡ ὁσιότης θεοῖς καὶ ἀνθρώποις παρ' ἀλλήλων. ΕΥΘ. Εμπορικὴ, εἰ ἔτως ἥδιόν σοι ὀνομάζειν. ΣΩΚ. Αλλ' οὐδὲ ἥδιον ἔμοιγε, εἰ μὴ τυγχάνει ἀληθὲς ὄν. φράσον δή μοι, τίς ἡ ὠφέλεια τοῖς θεοῖς οὖσα ἀπὸ τῶν δώρων, ὧν παρ' ἡμῶν λαμβάνουσιν. ἃ μὲν γὰρ διδόασι, παντὶ δῆλον· οὐδὲν γάρ ἐστιν ἡμῖν ἀγαθὸν ὅ, τι ἂν μὴ ἐκεῖνοι δῶσιν· ἃ δὲ παρ' ἡμῶν λαμβάνουσι, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεονεκτοῦμεν κατὰ τὴν ἐμπορίαν, ὥστε πάντα τἀγαθὰ παρ' αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν; ΕΥΘ. Αλλ' οἴει, ὦ Σώκρατες, τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων, ἃ παρ' ἡμῶν λαμβά-

petere, quibus egemus? EUTH. Quid aliud *esset*? SOC. Et rursus recte dare, ea, quibus indigent, illis vicissim tribuere? Neque enim scitum esset ea alicui, quibus non indiget, elargiri. EUTH. Vera, Socrates, dicis. SOC. Mercatoria igitur ars quædam, Euthyphro, sanctitas erit, quam dii & homines inter se mutuo exerceant. EUTH. Mercatoria, si tibi eam sic nominare placet. SOC. At nihil mihi placet, nisi sit verum. Dic ergo, quænam ad deos ex muneribus nostris redit utilitas. Nam eorum, quæ ipsi dent, *utilitatem*, nemo est, qui ignoret. Nihil enim nobis est bonum, quin illi præbeant: quæ vero a nobis accipiunt, quid illis utilitatis afferunt? an tanto ipsis in hac mercatura plus commodi percipimus, ut, cum nos omnia ab illis bona accipiamus, ipsi nihil a nobis *boni* reportent? EUTH. Num opinaris, Socrates, deos ab iis rebus, quas a nobis accipiunt,

γεσι; ΣΩΚ. Αλλὰ τί δήποτ' ἂν εἴη ταῦτα, ὦ Εὐθύφρον, τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; ΕΥΘ. Τί δ' οἴει ἄλλο, ἢ τιμή τε καὶ γέρας, καὶ, ὅπερ ἐγὼ ἄρτι ἔλεγον, χάρις; ΣΩΚ. Κεχαρισμένον ἄρα ἐστὶν, ὦ Εὐθύφρον, ὅ ὅσιον, ἀλλ' οὐκ ὠφέλιμον, οὐδὲ φίλον τοῖς θεοῖς. ΕΥΘ. Οἶμαι ἔγωγε πάντων γε μάλιστα φίλον. ΣΩΚ. Τοῦτο ἄρ' ἐστὶν αὖ, ὡς ἔοικε, τὸ ὅσιον, τὸ τοῖς θεοῖς φίλον. ΕΥΘ. Μάλιστά γε.

ιθ'. ΣΩΚ. Θαυμάσῃ οὖν ταῦτα λέγων, ἐάν σοι οἱ λόγοι φαίνωνται μὴ μένοντες, ἀλλὰ βαδίζοντες, καὶ ἐμὲ αἰτιάσῃ τὸν Δαίδαλον βαδίζοντας αὐτοὺς ποιεῖν, αὐτὸς ὢν πολὺ τεχνικώτερος ὁ Δαιδάλου, καὶ κύκλῳ περιϊόντας ποιῶν; ἢ οὐκ αἰσθάνῃ ὅτι ὁ λόγος ἡμῖν περιελθὼν, πάλιν εἰς ταυτὸν ἥκει; μέμνησαι γάρ που ὅτι ἐν τῷ πρόσθεν τό, τε ὅσιον καὶ ὃ θεοφιλὲς ἓν ταυτὸν ἡμῖν ἐφάνη, ἀλλ' ἕτερα ἀλλήλων· ἢ οὐδὲ μέμνησαι; ΕΥΘ. Εγωγε. ΣΩΚ. Νῦν οὖν οὐκ οἴνοεῖς

juvari? SOC. At quid tandem, Euthyphro, erunt hæc noſtra dona diis *oblata?* EUTH. Quid putas aliud, quam honorem, reverentiam, &, ut modo dicebam, gratiam? SOC. Sanctum igitur eſt, Euthyphro, id quod diis gratum ſit, non autem quod utile, aut amicum. EUTH. Reor equidem maxime omnium amicum. SOC. Hoc ergo rurſus, ut videtur, ſanctum eſt, *nempe* diis amicum. EUTH. Maxime.

19. SOC. Num miraberis igitur, cum hæc dicas, ſermones tibi nequaquam conſiſtere, ſed vagos potius videri, ac me tanquam Dædalum culpabis, quod vagos eos efficiam, cum tamen ipſe Dædalum arte maxime ſuperes, quippe qui facias, ut ii in circulum revolvantur? An non ſentis orationem nobis circumeuntem rurſus eodem redire? Meminiſti enim in ſuperioribus ſanctum & diis amatum haud eadem, ſed diverſa a ſe invicem apparuiſſe: an non meminiſti? EUTH. Memini. SOC. Nunc vero nonne animadver-

ὅτι τὸ τοῖς θεοῖς φίλον, φὴς ὅσιον εἶ); τοῦτο δ' ἄλλο τι ἢ θεοφιλὲς γίνε); ἢ οὔ; ΕΥΘ. Πάνυ γε. ΣΩΚ. Οὐκοῦν ἢ ἄρτι οὐ καλῶς ὡμολογοῦμεν, ἢ, εἰ τότε καλῶς, νῦν οὐκ ὀρθῶς τιθέμεθα. ΕΥΘ. Εοικε.

κ'. ΣΩΚ. Ἐξ ἀρχῆς ἄρα ἡμῖν σκεπτέον πάλιν, τί ἔστιν ὅσιον. ὡς ἐγώ, πρὶν ἂν μάθω, ἑκὼν εἶναι οὐκ ἀποδειλιάσω. Ἀλλὰ μή με ἀτιμάσῃς, ἀλλὰ παντὶ τρόπῳ προσχὼν τὸν νοῦν, ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν. οἶσθα γὰρ, εἰπέρ τις ἄλλος ἀνθρώπων· καὶ οὐκ ἀφετέος ἂν εἴης, ὥσπερ ὁ Πρωτεύς, πρὶν ἂν εἴπῃς. εἰ γὰρ μὴ ἤδεισθα σαφῶς τό, τε ὅσιον καὶ ὃ ἀνόσιον, οὐκ ἔστιν ὅπως ἂν ποτε ἐπεχείρησας ὑπὲρ ἀνδρὸς θητὸς ἄνδρα πρεσβύτην πατέρα διωκάθειν φόνου· ἀλλὰ καὶ τοὺς θεοὺς ἂν ἔδεισας πρᾶγμα δυσεύειν (μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσεις) καὶ τοὺς ἀνθρώπους ᾐσχύνθης. νῦν δὲ εὖ οἶδα ὅτι σαφῶς οἴει εἰδέναι τό, τε ὅσιον καὶ μή. εἰπὲ

tis te ſanctum diis amicum dicere; hoc autem an aliud eſt quam diis amatum, an idem? EUTH. *Idem* omnino. SOC. Ergo aut tunc non recte conceſſimus, aut, ſi recte tunc, nunc minus recte ponimus. EUTH. Videtur.

20. SOC. A principio igitur rurſus, quid ſanctum ſit, diſpiciendum eſt. Nam ego, antequam didicero, haud animo lubens frangar. Sed ne me aſperneris, at mentem penitus adhibens, quam maxime nunc exprime veritatem. Noſti enim, ſi quis hominum alius; neque dimittendus es, quemadmodum Proteus, priuſquam dixeris. Niſi enim quid ſanctum, & quid profanum ſit, perſpectum habuiſſes, nequaquam mercenarii gratia virum ſenem & patrem tanquam cædis reum perſequi ſtatuiſſes; ſed & timore deorum ab hac re periclitanda (ne forte eam aggredi minus rectum eſſet) & pudore hominum fuiſſes revocatus. Nunc autem ſcio te quid ſanctum, & quid non, plane noſſe opinari. Dic igi-

οἶω, ὦ βέλτιστε Εὐθύφρων, καὶ μὴ ἀποκρύψῃ ὅ, τι αὐτὸ ἡγῇ. ΕΥΘ. Εἰσαῦθις τοίνυν, ὦ Σώκρατες· νῦν γὰρ σπεύδω που, καί μοι ὥρα ἀπιέναι. ΣΩΚ. Οἷα ποιεῖς, ὦ ἑταῖρε; ἀπ' ἐλπίδος με καταβαλὼν μεγάλης ἀπέρχῃ, ἣν εἶχον ὡς παρὰ σοῦ μαθὼν τά τε ὅσια καὶ μή, καὶ τῆς πρὸς Μέλιτον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ' Εὐθύφρονος τὰ θεῖα γέγονα· καὶ ὅτι οὐκέτι ὑπ' ἀγνοίας αὐθαδιάζω, οὐδὲ καινοτομῶ περὶ αὐτά· καὶ δὴ καὶ τὸν ἄλλον βίον ὅτι ἄμεινον βιώσοίμην.

tur, optime Euthyphro, neque me celes, quid ipsum esse putes. EUTH. Alias sane, Socrates: nunc enim aliquo propero, & mihi tempus abire est. SOC. Quid agis, amice? magna de spe me nunc abiens dejecisti, quam conceperam, futurum ut abs te quid sanctum, quid non, discerem, atque adeo ab *instituta* Meliti accusatione memet liberarem, ostendens illi me ab Euthyphrone jam in rebus divinis sapientem factum esse; neque amplius præ insciti temere de iis loqui, nec novum aliquod inducere; reliquamque adeo vitam rectius acturum esse.

ΠΛΑΤΩΝΟΣ
ΑΠΟΛΟΓΙΑ
ΣΩΚΡΑΤΟΥΣ.

ΟΤΙ μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα. ἐγὼ δ' οὖν καὶ αὐτὸς ὑπ' αὐτῶν ὀλίγου δεῖν ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανῶς ἔλεγον. καίτοι ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐθὲν εἰρήκασι. μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν, ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον ὡς χρῆν ὑμᾶς εὐλαβεῖσθαι, μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. τὸ γὰρ μὴ αἰσχυνθῆναι ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχθήσονται

PLATONIS
APOLOGIA
SOCRATIS.

QUONAM modo vos, Athenienſes, affecerint accuſatores mei, neſcio: memet ipſum certe *ita affecerunt*, *ut* mei ipſius pene oblitus fuerim; adeo ad perſuadendum accomodate dixerunt: quamvis veri nihil, ut uno verbo omnia complectar, protulerunt. Sed ex multis, quæ falſo aſſeverarunt, id unum ſum potiſſimum admiratus, quod vobis cavendum eſſe monuerunt, ne a me, quaſi dicendi facultate plurimum valerem, deciperemini. Quod enim *aſſerere* id minime erubuerunt, in quo ſtatim a me mendacii re ipſa

ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι· εἰ μὴ ἄρα δεινὸν καλοῦσιν αὐτοὶ λέγειν, τὸ τἀληθῆ λέγοντα. εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε, οὐ κατ' ἐκείνους, εἶναι ῥήτωρ. οὗτοι μὲν οὖν, ὥσπερ ἐγὼ λέγω, οὐδὲν ἀληθὲς εἰρήκασιν· ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. οὐ μέντοι μά Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους (ὥσπερ οἱ τούτων) ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι. πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσδοκησάτω ἄλλως. οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῆδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς εἰσιέναι. καὶ μέντοι καὶ πάνυ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι καὶ παραιτοῦμαι· ἐὰν ἐν τοῖς αὐτῶν λόγων ἀκούητέ μου ἀπολογουμένου, δι' ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ καὶ ἐπὶ

coarguentur, cum dicendi rudis prorſus reperiar, hoc mihi in iis viſum eſt impudentiſſimum: niſi forte eum eloquentem admodum iſti vocant, qui vera dicit. Si enim ita dicant, profitear equidem me, *quamvis* non eorum more, oratorem eſſe. Iſti etenim, quemadmodum ego dico, veri nihil dixerunt; a me autem vos omnem veritatem percipietis. Neque vero per Jovem, Athenienſes, a me (quemadmodum ab iſtis) orationem eleganti ſententiarum dictionumque delectu inſtructam, neque exornatam, ſed ſermones vocabulis de medio petitis temere enuntiatos audietis. Juſta enim eſſe credo quæ dicturus ſum, neque quiſquam veſtrum aliter *fore* expectet. Neque certe, viri, huic ætati conſentaneum eſſet, me tanquam adoleſcentulum oratione artificioſe compoſita ad vos prodire. Et quidem hoc etiam vehementer, Athenienſes, oro & obſecro; ut ſi iiſdem me verbis in reſpondendo utentem audiatis, quibus & in foro & ad *argentario-*

τῶν τραπεζῶν, ἵνα ὑμῶν οἱ πολλοὶ ἀκηκόασι, καὶ ἄλλοθι, μήτε θαυμάζειν μήτε θορυβεῖν τούτου ἕνεκα. ἔχει γὰρ ὑπωσί· νῦν ἐγὼ τρῶτον ἐπὶ δικαστήριον ἀναβέβηκα, ἔτη γεγονὼς πλείω ἑβδομήκοντα. ἀλεχνῶς οὖν ξένος ἔχω τῆς ἐνθάδε λέξεως. ὥσπερ οὖν ἂν εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγινώσκετε δήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἐλεγον, ἐν οἷς περ ἐτεθράμμην· καὶ δὴ καὶ νῦν τοῦτο ὑμῶν δέομαι (δίκαιον, ὥσπερ μοι δοκῶ) τὴν μὲν τρόπον τῆς λέξεως ἐᾶν· (ἴσως μὲν γάρ τι χείρων, ἴσως δὲ βελτίων ἂν εἴη) αὐτὸ δὲ τοῦτο σκοπεῖν, καὶ τοῦτο τὴν μὲν τρόσεχειν, εἰ δίκαια λέγω, ἢ μή. δικαιοσύνη μὲν γὰρ αὕτη ἀρετή· ῥήτορος δέ, τἀληθῆ λέγειν.

β'. Πρῶτον μὲν οὖν δίκαιός εἰμι ἀπολογήσασθαι, ὦ ἄνδρες Ἀθηναῖοι, τρὸς τὰ τρῶτά μου ψευδῆ κατηγορημένα, καὶ τρὸς τοὺς τρώτους κατηγόρους, ἔπειτα δὲ τρὸς τὰ ὕστερον καὶ τοὺς ὑστέρους. ἐμοῦ γὰρ τολλοὶ κατήγοροι γεγόνασι τρὸς ὑμᾶς, καὶ πάλαι τολλὰ ἤδη ἔτη, καὶ οὐδὲν ἀληθὲς λέγον-

rum menſas, ubi pleriq; veſtrum me audierunt, & alibi ſolitus ſum, ne admiremini neve obſtrepatis hac de cauſa. Sic enim ſe res habet: veni nunc primum in judicium, plures quam ſeptuaginta annos natus. In eo igitur dicendi genere, quod hic uſurpatur, hoſpes plane ſum. Quemadmodum ergo ſi revera peregrinus eſſem, ignoſceretis utique mihi ea voce & forma loquenti, in quibus educatus eſſem: ita & nunc vos precor, (neque id quidem, ut opinor, injuria) ut loquendi formam prætermittatis; (forſan enim deterior, forſan melior quodammodo erit) ſed id ipſum conſideretis, huc mentem adhibeatis, juſtane, an injuſta dicam. Hæc enim judicis virtus eſt, oratoris autem, vera loqui.

2. Primum igitur, Athenienſes, me par eſt ad ea, quæ primo mihi falſo objecta ſunt, & ad primos accuſatores reſpondere, deinde ad ea, quæ poſterius atque poſtremos. Me quippe multi jam multos annos falſo prorſus apud vos accuſa-

τες· οὓς ἐγὼ μᾶλλον φοβοῦμαι ἢ τοὺς ἀμφὶ Ανυτον, καίπερ ὄντας καὶ τούτους δεινούς· ἀλλ' ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἱ ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες, ἔπειθόν τε καὶ κατηγόρουν ἐμοῦ ὄντὲν ἀληθές· ὡς ἔστι τις Σωκράτης, ἀνὴρ σοφὸς, τά τε μετέωρα φροντιστὴς, καὶ τὰ ὑπὸ γῆν πάντα ἀνεζητηκὼς, καὶ τὸν ἥττω λόγον, κρείττω ποιῶν. οὗτοι, ὦ ἄνδρες Αθηναῖοι, ταύτην τὴν φήμην κατασκεδάσαντες, οἱ δεινοὶ εἰσί μου κατήγοροι. οἱ γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας, οὐδὲ θεοὺς νομίζειν. ἔπειτα εἰσὶν οὗτοι οἱ κατήγοροι πολλοὶ, καὶ πολὺν ἤδη χρόνον κατηγορηκότες· ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες πρὸς ὑμᾶς, ἐν ᾗ ἂν μάλιστα ὑπετύσατε, παῖδες ὄντες ἔνιοι ὑμῶν καὶ μειράκια, ἀτεχνῶς ἐρήμην κατηγορηκότες, ἀπολογουμένου οὐδενός. ὃ δὲ πάντων ἀλογώτατον, ὅτι οὐδὲ τὰ ὀνόματα οἷόν τε αὐτῶν εἰδέναι καὶ εἰπεῖν· πλὴν εἴτις

runt; quos ego magis formido quam Anytum ejuſque ſocios, quanquam & hi graves ſint; ſed illi graviores, viri, qui pleroſque veſtrum a pueritia occuparunt, vobis perſuadentes, & in me falſa omnino crimina intendentes; eſſe *videlicet* Socratem quendam, virum ſapientem, ſublimia curantem, quique omnia, quæ ſub terra ſunt, perſcrutatus eſt, cauſamque deteriorem *differendo* meliorem efficit. Hi profecto, Athenienſes, qui hunc de me rumorem divulgarunt, accuſatores mei graviſſimi ſunt. Qui enim hæc audiunt, opinantur harum rerum indagatores ne deos quidem eſſe arbitrari. Deinde iſti accuſatores & multi ſunt, & longum jam tempus me accuſarunt; & in ea porro ætate *hæc* vobis dixerunt, in qua veſtrum nonnulli, utpote pueri & adoltſcentuli, facillime credidiſtis; me plane *hoc modo* tanquam deſerta in cauſa, nemine me defendente, accuſantes: &, quod omnium abſurdiſſimum eſt, neque nomina quidem illorum ſcire licet atque proferre; præterquam ſi

κωμῳδοποιὸς τυγχάνει ὤν. ὅσοι δὴ φθόνῳ καὶ διαβολῇ χρώμενοι ὑμᾶς ἀνέπειθον, οἱ δέ, καὶ αὐτοὶ πεπεισμένοι, ἄλλους πείθοντες, ὅτοι πάντες ἀπορώτατοί εἰσιν. οὐδὲ γὰρ ἀναβιβάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ οὐδὲ ἐλέγξαι οὐδένα· ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογούμενόν τε, καὶ [1] ἐλέγχειν, μηδενὸς ἀποκρινομένου. ἀξιώσατε δὴ καὶ ὑμεῖς, ὥσπερ ἐγὼ λέγω, διττούς μου κατηγόρους γεγονέναι, ἑτέρους μέν, τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους δέ, τοὺς πάλαι, οὓς ἐγὼ λέγω· καὶ οἰήθητε δεῖν πρώτους ἐκείνους ὑπολογήσασθαί μοι. καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον ἠκούσατε κατηγορούντων, καὶ πολὺ μᾶλλον ἢ τῶνδε τὸ ὕστερον. εἶεν. ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔσχετε, ταύτην ἐν ὀλίγοις ὀλίγῳ χρόνῳ. βουλοίμην μὲν ἂν τοῦτο οὕτω γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ ἐμοί, καὶ πλέον τί με

quis eorum comicus poeta ſit. Quotcunque vero invidiam & calumniam adhibentes vobis perſuaſerunt, quique ipſi perſuaſi, perſuaſerunt aliis, cum illis omnibus difficillimum prorſus eſt certamen. Non enim fieri poteſt, ut huc trahatur ullus vel coarguatur; ſed neceſſe plane eſt veluti contra umbram dimicare, dum & me defendo & *alios* coarguo, nemine reſpondente. Cenſete ergo & vos, quemadmodum dico, accuſatores mihi duplices extitiſſe, alios quidem, qui me modo accuſarunt, alios, qui jampridem, de quibus loquor; atque exiſtimate me quidem oportere prius reſpondere iſtis, quos & ipſi prius multoque magis audiviſtis, quam hoſce ultimos, accuſantes. Eſto: inſtituenda igitur, Athenienſes, mihi eſt defenſio, conandumque in hoc tam brevi tempore invidiam iſtam evellere, quam vos longum jam tempus in me concepiſtis. Vellem ſane hoc ita demum evenire, ſi modo id vobis & mihi melius foret, & boni aliquid defenſio-

1 Forſan ἐλέγχοντα *Steph.*

ποιῆσαι ἀπολογούμενον. οἶμαι γὰ αὐτὸ χαλεπὸν εἶναι, καὶ δ' πάνυ με λανθάνει οἷον ἐστίν. ὅμως δὲ τοῦτο μὲ ἴσως ὅπη τῷ θεῷ φίλον· τῷ γὰ νόμῳ πειστέον καὶ ἀπολογητέον.

γ'. Ἀναλάβωμεν δὴ ἐξ ἀρχῆς, τίς ἡ κατηγορία, ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ἣ δὴ καὶ πιστεύων Μέλιτος με ἐγράψατο τὴν γραφὴν ταύτην. ἔστω. τί δὴ λέγοντες διέβαλλον οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων, τὴν ἀντωμοσίαν δεῖ ἀναγνῶναι αὐτῶν, Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆν καὶ τὰ ἐπουράνια, καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν, καὶ ἄλλους ταῦτα διδάσκων. τοιαύτη τίς ἐστι. τοιαῦτα γὰ ἑωράτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτην τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν, καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα. ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν πέρι ἐπαΐω· καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴπερ τις περὶ τῶν τοιούτων σοφός ἐστι, μήπως

ne mea efficere. Verum id difficile fore arbitror, neque prorsus, quomodo se res habet, me latet. Atqui hoc ita eat, uti deo gratum erit: nos autem legi parere oportet, ac defensionem pro nobis afferre.

3. Repetamus igitur ab initio, quænam ea sit accusatio, ex qua mihi nata est illa invidia, qua confisus Melitus hoc adversus me crimen instituit. Esto. Quid ergo dictitabant, qui mihi invidiam conflabant? Illorum itaq; tanquam si accusatores essent, jusjurandum perlegendum est, *Socrates injuste agit, atque nimis curiose, quæ sub terra & in cælo sunt, perquirens, deterioremque causam reddens meliorem, & alios etiam hæc docens.* Talis utique est *istorum accusatio.* Talia enim & ipsi vidistis in Aristophanis comœdia, Socratem *nempe* illic quendam circumferri, qui affirmat se in aere ambulare, & plures alias garrit nugas. Quas ego res prorsus ignoro: neque hæc dico, quasi hujusmodi scientiam parvi faciam, si quis in rebus similibus sit sapiens, quo mi-

ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φεύγοιμι. Ἀλλὰ γάρ μοι τῶν τοιούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστι· μάρτυρας δ' αὖ ὑμῖν τοὺς πολλοὺς παρέχομαι· καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε ἀφηλεγομένου. πολλοὶ δὲ ὑμῖν ἂ τοιοῦτοί εἰσι. φράζετε οὖν ἀλλήλοις, εἰ πώποτε ἢ σμικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων ἀφηλεγομένου· καὶ ἐκ τούτου γνώσεσθε ὅτι τοιαῦτ' ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν.

δ'. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν· οὐδέ γ' εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους, καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές· ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους, ὥσπερ Γοργίας ὁ Λεοντῖνος, καὶ Πρόδικος ὁ Κεῖος, καὶ Ἱππίας ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστὶν ἰὼν εἰς ἑκάστην τῶν πόλεων, τοὺς

nus tanti criminis ipſe a Melito accuſer. Sed revera, Athenienſes, horum nihil ſcio. Teſtes autem *hujuſce rei* pleroſque veſtrum adduco; voſque rogatos velim, ut alii alios doceatis, & vobis invicem dicatis, quotquot me colloquentem aliquando audiviſtis. Audiviſtis autem plerique veſtrum. Recenſete igitur invicem, utrum unquam veſtrum aliquis me de rebus hujuſcemodi quicquam omnino audiverit diſputantem; atque exinde cognoſcetis ejuſmodi eſſe & cætera, quæ de me plerique dictitant.

4. At neque horum quicquam omnino verum eſt: aut ſi a quopiam audiveritis me homines inſtituere, atque *inde* pecuniam facere, ne id quidem verum eſt: quanquam & id præclarum mihi videtur, ſi quis inſtituere homines poſſit, quemadmodum Gorgias Leontinus, & Prodicus Ceus, & Hippias Eleus. Horum enim ſinguli eam, viri, facultatem habent, ut ad quaſcunque proficiſcantur urbes, ado-

νέας, οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν τῳ βούλονται συνεῖναι ᾧ ἂν βάλωνται, τούτους [1]πείθουσι τὰς ἐκείνων συνουσίας ἀπολιπόντας, σοφισταῖς χρήματα διδόντας, καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε, σοφός, ὃν ἐγὼ ἡδόμην ἐπιδημοῦντα. ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ, ὃς τετελεκὼς χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου. τοῦτον οὖν ἀνηρόμην, (ἐστὸν γὰρ αὐτῷ δύο υἱέε) Ω Καλλία, ἦν δ' ἐγὼ, εἰ μέν σου τὼ υἱέε πῶλω ἢ μόσχω ἐφυέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπισάλην λαβεῖν καὶ μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλὼ καὶ ἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· (ἦν δ' ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν) νῦν δ' ἐπειδὴ ἀνθρώπω ἐστὸν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπισάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, ἣ ἀνθρωπίνης τε καὶ πολιτικῆς ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι, ἅτε καὶ τῶν υἱέων κτῆσιν. ἔστι τις, ἔφην ἐγὼ, ἢ

lescentibus, quibus cum suorum civium quibuslibet gratuito licet versari, persuadeant, ut se, illorum consuetudine relicta, sectentur, ac data pecunia, gratiam insuper habeant. Est & alius quidam vir hic sapiens, Parius, quem ego huc advenisse audivi. Contigit enim, ut in virum inciderem, qui plus pecuniarum in sophistas expenderat, quam cæteri omnes, Calliam, *inquam*, Hipponici filium. Hunc ergo interrogavi, (duos enim habet filios) O Callia, inquam, si filii tui pulli equini aut vituli essent, possemus aliquem illis mercede adhibita præficere, qui eos pro sua ipsorum natura pulchros bonosque efficeret; (esset vero talis aut equestrium aliquis aut agricolarum) nunc vero cum *filii tui* homines sint, quemnam illis præficere in animo habes? Quisnam hujusce humanæ civilisque virtutis sciens est? Arbitror id te, cum filios habeas, cogitavisse. Estne, inquam, *talis* aliquis, an

1 Forsan πείθειν *Steph.*

non? Est profecto, inquit ille. Quis, inquam, est, & unde? & quanti docet? Euenus, inquit, est, Socrates, Parius, quinque minis. Atque ego Euenum felicem judicavi, si revera hac arte præditus sit, atque adeo concinne doceat. Ipse ergo quoque, si talia scirem, admodum gloriarer, & magni me facerem. At certe, Athenienses, hæc nescio.

5. Objiciat autem forsan aliquis, Atqui, Socrates, quidnam feciſti? Et unde adversus te exortæ sunt hæ calumniæ? De te enim, si nihil singulare præter cæterorum morem factitares, nunquam tantus deinde rumor ac sermo exortus esset, nisi, *inquam*, aliquid a vulgi consuetudine alienum ageres. Dic ergo nobis, quid tandem id sit, ne & nos de te temere aliquid judicemus. Hæc qui dixerit, mihi justa dicere videtur: atque ego vobis conabor ostendere, quidnam id sit, quod mihi & nomen hoc & invidiam peperit. Audite igitur; & vestrum licet nonnullis ludere forsan

παίζειν, εὖ μὴντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἄλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἔστιν ἴσως ἀνθρωπίνη σοφία. τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός. οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν· [1] ἢ οὐκ ἔχω, ὅ, τι λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι. ἀλλ' ὅστις φησὶ, ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε μηδέν, ἂν δόξω τι ὑμῖν μέγα λέγειν. οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέξω· ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τις ἐστὶ σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε δήπου· οὗτος ἐμὸς ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν ᾧ πλήθει ἑταῖρός τε, καὶ συνέφυγε τὴν φυγὴν ταύτην, καὶ μετ' ὑμῶν

videar, pro certo tamen habeatis, me omnem vobis veritatem dicturum. Ego equidem, Athenienſes, ob nullam aliam rem præter ſapientiam quandam hujuſmodi nomen nactus ſum. Qualem vero ſapientiam hanc? Quæ humana forſan eſt. Nam hac revera præditus videor. Illi vero, quos paulo ante commemorabam, majorem forte quandam humana ſapientiam habeant; quam, quo nomine appellem, neſcio: neque enim ego eam novi. At quicunque id *de me* aſſerit, mentitur, &, ut mihi odium conflet, id dicit. Nec vero mihi, Athenienſes, obſtrepatis, ſi quid vobis magnum dicere videar. Non enim meus hic ſermo eſt, quem dicam; ſed eum auctori, cui credatis, digno acceptum referam. Nam ſapientiæ meæ, ſi qua mihi & qualis ſit, teſtem adhibebo vobis Delphicum deum. Chærephontem certe noviſtis; ille familiaris mihi erat a puero, & veſtrum pleriſque, ac nuper una vobiſcum fugit, & ſimul in urbem

1 Forſan ἦν.

κατῆλθε. καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ, τι ὁρμήσειε. καὶ δήποτε καὶ εἰς Δελφοὺς ἐλθὼν, ἐτόλμησε τοῦτο μαντεύσασθαι. καὶ, ὅπερ λέγω, μὴ θορυβῆτε, ὦ ἄνδρες. ἤρετο γὰρ δή, εἴπις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὗτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκε.

ς'. Σκέψασθε δὴ ὧν ἕνεκα ταῦτα λέγω. μέλλω γὰρ ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονεν. ταῦτα γὰρ ἐγὼ ἀκούσας, ἐνεθυμούμην οὕτωσί, Τί ποτε λέγει ὁ θεός; καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξυνοίδα ἐμαυτῷ σοφὸς ὤν. τί οὖν ποτε λέγει, φάσκων ἐμὲ σοφώτατον εἶναι; ψεύδεταί γε· ἡ γὰρ θέμις αὐτῷ. Καὶ πολὺν μὲ χρόνον ἠπόρουν, τί ποτε λέγει. ἔπειτα μόλις πάνυ ἐπὶ ζήτησιν αὐτῆς τοιαύτην τινὰ ἐτραπόμην. ἦλθον ἐπὶ

reverſus eſt. Noviſtis ergo qualis erat Chæripho, quam vehemens, quamcunq; ad rem ſe convertiſſet. Et hic itaque aliquando Delphos profectus, hac de re oraculum conſulere auſus eſt. Nec mihi, ut dico, viri, obſtrepatis. Interrogavit utique, an eſſet ullus me ſapientior. Reſpondit Pythia ſapientiorem eſſe neminem. Et de his quidem iſte frater ejus teſtimonium perhibebit; nam ipſe *Chæripho* vita functus eſt.

6. Conſiderate igitur quorum gratia hæc dico. Vobis enim explicaturus ſum, unde hæc mihi invidia conflata ſit. Cum enim hæc audiſſem, ita mecum ipſe reputavi, Quidnam deus ait? ac quidnam innuit? Ego enim neutiquam omnino me ſapientem eſſe mihi conſcius ſum. Quid igitur ſibi vult, cum me dicat ſapientiſſimum? Minime profecto mentitur: neque enim id fas eſt ei. Atque diu quidem ambiguus hærebam, quid *oraculum* innueret. Deinde ad hujuſcemodi quandam inquiſitionem me vix tandem contuli. Adivi quen-

τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἰ πέρ που, ἐλέγξων ὃ μαντεῖον, καὶ ἀποφαίνων τῷ χρησμῷ, ὅτι οὗτος γέ μου σοφώτερος· σὺ δ' ἐμὲ ἔφησθα. Ἀφασκοπῶν οὖν τοῦτον· (ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν) ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν, τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι· καὶ ἀφαλεόμην αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις, καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ. καὶ πειρώμην αὐτῷ δεικνύναι ὅτι οἴοιτο μὲν εἶναι σοφὸς, εἴη δ' οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην, καὶ πολλοῖς τῶν παρόντων. πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην, ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι. κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν οὐδ' ἀγαθὸν εἰδέναι· ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι, οὐκ εἰδώς· ἐγὼ δὲ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι. ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶ-

dam ex iis, qui ſapientes videntur, ut qui hic, ſi uſquam, vaticinium coarguturus eſſem, oraculoque oſtenſurus, illum, non me, quem dixiſti, eſſe ſapientiorem. Dum illum ergo contemplarer; (nomen enim ejus proferre nihil opus eſt) erat autem quidam ex iis, qui in republica gerenda verſantur: illum, *inquam*, dum reſpicerem, mihi hujuſmodi quiddam, Athenienſes, contigit; *nempe* mihi cum illo colloquenti viſus eſt vir ille videri quidem ſapiens tum aliis multis, tum vel maxime ſibi ipſi, eſſe vero nequaquam. Deinde conatus ſum illi oſtendere illum quidem ſibi ipſi videri ſapientem, ſed minime eſſe. Unde & illum mihi infenſum, & ex iis, qui aderant, multos reddidi. Diſcedens vero mecum ipſe reputavi, me profecto hoc homine ſapientiorem eſſe. Videtur enim neuter noſtrum pulchrum bonumve aliquid noſſe: ſed hic quidem, cum ſciat nihil, ſe ſcire aliquid putat: ego vero, quemadmodum nihil ſcio, ita me nec *quicquam ſcire* exiſtimo. Videor ergo hac quidem parva in re hoc homine

ναι, ὅτι ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ἰέναι τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶ)· καί μοι ταυτὰ ταῦτα ἔδοξε. καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.

ζ. Μετὰ ταῦτα οὖν ἤδη ἐφεξῆς ἰέναι, ἀλθανόμενος μὲν καὶ λυπούμενος, καὶ δεδιὼς ὅτι ἀπηχθανόμην· ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶ) τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι, καὶ ἰέναι, σκοποῦντι τὸν χρησμὸν τί λέγει, ὅτι ἄπασι τοῖς τὶ δοκοῦσι εἰδέναι. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες Ἀθηναῖοι, (δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν) ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον. οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν θεόν· ἄλλοι δὲ, δοκοῦντες φαυλότεροι, ἐπιεικέστεροι εἶ) ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δή ὑμῖν τἰὼ ἐμὴν πλάνην ὀπιδεῖξαι, ὥσπερ πόνους τινὰς πονοῦντος, ἵνα μοι καὶ ἀνέλεγ-

sapientior, quod quæ ignoro, neque scire me arbitror. Post hæc alium adii ex iis, qui illo sapientiores habebantur; & de eo omnino similiter judicavi. Atque hinc illum multosque alios mihi infensos reddidi.

7. Postea *ad alios* deinceps perrexi, sentiens quidem, *quid rei esset*, atque id dolens, timensq; ne adversus me odium concitarem: veruntamen necessarium mihi visum est dei *vocem* plurimi facere, passimque progredi perscrutantem, quid sibi vellet oraculum, ad omnes, quicunque aliquid scire viderentur. Et per canem, Athenienses, (oportet enim vobis vera dicere) tale aliquid mihi contigit. Mihi quidem, dum hæc ex divino oraculo perquirebam, qui maxime *sapientiæ* nomen consecuti essent, ab ea illi longissime abesse; alii vero, qui illis inferiores existimabantur, propius ad prudentiam accedere videbantur. Oportet profecto vobis referre, quantum oberraverim, quasi labores quosdam *mihi impositos* sustinens, ut indubitata *tandem*

κτος ἡ μαντεία γένοιτο. μετὰ γὰρ τοὺς πολιτικοὺς ἦια ἐπὶ τοὺς ποιητάς, τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶ διθυράμβων, καὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἃ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτοὺς τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν, ὀλίγοι αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. ἔγνων οὖν αὖ καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί. καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες. καὶ ἅμα ᾐσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων

mihi conſtaret oraculi fides. Poſt homines enim, qui in republica gerenda verſantur, ad poetas me contuli, tragœdiarum *nempe* & dithyramborum auctores, alioſque, quaſi hic manifeſto prorſus ſtatim deprehenſurus, eſſe me his imperitiorem. Acceptis itaque eorum libris, in quibus ſcribendis maxime elaboraviſſe videbantur, ſciſcitatus ſum eorum ſenſa, ut ſimul etiam aliquid ab ipſis perdiſcerem. Erubeſco, viri, verum hic vobis dicere; dicendum eſt tamen. Alii pene omnes præſentes, ut uno verbo dicam, melius de iis *poematibus*, quæ iſti conſcripſerant, loquerentur. Deprehendi igitur id brevi item de poetis, eos non ſapientiæ vi facere quæ faciant, ſed naturæ quodam impetu & divina animi concitatione, quemadmodum vaticinantes & fatidici. Nam & hi multa quidem & præclara dicunt, ſed eorum, quæ dicunt, nihil intelligunt. Tali quodam pacto poetæ quoque affecti fuiſſe mihi videbantur. Et ſimul animadverti eos in aliis quoque rebus propter poeſim omnium

τῆ) ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπιὼν οὖν καὶ ἐντεῦθεν, τῷ αὐτῷ οἰόμενος ὑπερεῖναι, ὥπερ καὶ τῶν πολιτῶν.

η'. Τελευτῶν δὴ ὑπὲρ τοὺς χειροτέχνας ἤια. ἐμαυτῷ γὰρ ξυνήδειν οὐδὲν ὑπισταμένῳ, ὡς ἔπος εἰπεῖν· τούτους δέ γ' ἤδειν ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ὑπισταμένους. καὶ τούτου μὲ οὐκ ἐψεύσθην· ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην, καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταυτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ οἱ ποιηταί, καὶ οἱ ἀγαθοὶ δημιουργοί. διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι, ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σοφώτατος εἶναι. καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν. ὥστε με καὶ αὐτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν, ὕτως ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν, μήτε ἀμαθὴς τὴν ἀμαθίαν· ἢ ἀμφότερα, ἃ ἐκεῖνοι ἔχουσιν, ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ τε καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτελεῖ, ὥσπερ ἔχω ἔχειν.

se sapientissimos judicare, in quibus minime erant. Abii ergo & hinc, eadem omnino re me eos superare existimans, qua & homines civiles.

8. Tandem ergo me ad artifices contuli. Mihi enim conscius fui me nihil, ut uno verbo dicam, scire; noveram autem me hosce multa & pulchra scire comperturum. Neque in hoc quidem me fefellit opinio; at sciebant, quæ ipse nesciebam, & hac in parte me sapientiores erant. Sed, Athenienses, eidem vitio, cui & poetas, peritos artifices obnoxios esse deprehendi. Unusquisque eorum, quod artem suam præclare exerceret, se in cæteris quoque vel maximis rebus sapientissimum esse putabat. Atque hic eorum error illam, *quæ ipsis inerat*, sapientiam obscurabat. Quamobrem me ipsum oraculi nomine interrogabam, utrum eligerem, ita me habere, ut habeo, neque peritia illorum, neque insciti prædituni, an utraque habere, quæ illi habent. Mihi ergo ipsi atque oraculo respondi, mihi commodius esse ita, uti habeo, me habere.

9'. Ἐκ ταύτης ἤδη τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαί μοι ἀπέχθειαι γεγόνασι, καὶ οἵαι χαλεπώταται καὶ βαρύταται· ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγενέναι· ὄνομα δὲ τοῦτο λέγεται σοφὸς εἶναι. οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω. ὅ γὴ κινδυνεύει, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ φαίνεται [1] τοῦτον λέγειν τὸν Σωκράτην, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ προβάδειγμα ποιούμενος· ὥσπερ [2] ἂν εἴποι ὅτι, Οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις, ὥσπερ Σωκράτης, ἔγνωκεν ὅτι οὐδενὸς ἄξιός ἐστι τὴν ἀληθείαν πρὸς σοφίαν. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιϊὼν ὀπίζομαι καὶ ἐρευνῶ, κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι

9. Ex hac inquiſitione, Athenienſes, inimicitiæ multæ, eæque acerrimæ atque graviſſimæ adverſus me jam coortæ ſunt; adeo ut multæ exinde calumniæ ſint conſecutæ; nomenque hoc ſapientis inditum ſit. Qui adſunt enim ſemper me ipſum illa ſcire putant, in quibus alium coarguo. Videtur autem, Athenienſes, revera *ſolus* deus ſapiens eſſe, atque in hoc oraculo id ſibi velle, humanam *videlicet* ſapientiam parvi, imo nihili pendendam eſſe; & apparet ideo Socratem *ſapientem* nuncupare, meoque nomine uti, quo me tanquam exemplum quoddam proponat; quaſi ſic dicat, Hic veſtrum, mortales, ſapientiſſimus eſt, qui, quemadmodum Socrates, novit ſe, quod ad ſapientiam attinet, nihili revera eſſe faciendum. Hæc igitur ego etiamnum circumeuns paſſim perquiro, deo obſecutus, & perſcrutor, ſi quem aut civium aut peregrinorum eſſe exiſtimem ſapientem: ac poſtquam mihi ille *talis* non videatur, deo opem ferens illum

1 Forſan τοῦτο *Steph.* 2 Forſ. ἂν εἰ εἴποι *Steph.*

ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας, ὀλίγα τι τῶν τῆς πόλεως πεπράξαι μοι σχολὴ γέγονεν ἄξιον λόγου, οὔτε τῶν οἰκείων· ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμί, διὰ τὴν τοῦ θεοῦ λατρείαν.

ι'. Πρὸς δὲ τούτοις, οἱ νέοι μοι ἐπακολουθοῦντες (οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων) αὐτόματοι, χαίρουσιν ἀκούοντες ἐξελεγχομένων τῶν ἀνθρώπων· καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν. κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι τῶν ἀνθρώπων, εἰδότων δὴ ἢ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, οὐκ αὐτοῖς· καὶ λέγουσιν, ὡς Σωκράτης τίς ἐστι μιαρώτατος, καὶ διαφθείρει τοὺς νέους. κ᾽ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ ὅ, τι ποιῶν, καὶ ὅ, τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν· ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦ-

sapientem non esse demonstro. Atque ob occupationes hujusmodi nullum mihi ferme contigit otium, vel ad publicum aliquid commemoratu dignum agendum, vel privatum; sed in paupertatem gravissimam propter hoc dei obsequium redactus sum.

10. Præterea adolescentes (ii quibus maxime per otium licet, *nempe* qui parentibus nati sunt locupletissimis) me ultro sequentes, delectantur, cum refelli a me homines audiunt: & ipsi sæpe me imitati, alios deinde explorare aggrediuntur. Qua quidem in re plurimam, opinor, reperiunt turbam hominum aliquid se scire putantium, cum aut pauca aut nihil sciant. Inde ii, qui ab his tentantur, non illis, sed mihi redduntur infensi; clamantque, Socratem quendam esse impurissimum, eumque juvenes corrumpere. Ac si quis eos sciscitatur, quidnam vel agendo vel docendo *corrumpat*, nihil quidem afferre possunt, imo *plane* ignorant: sed ne hærere videantur, ad ista confugiunt, quæ adversus omnes philosophantes in prom-

τα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς ζητεῖ, καὶ θεοὺς μὴ νομίζει, καὶ τὸν ἥττω λόγον, κρείττω ποιεῖ. τὰ γὰρ ἀληθῆ, οἶμαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι καταδηλοί γίγνονται πεπαιδευμένοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι, φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοὶ, καὶ ξυντεταγμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα, καὶ πάλαι καὶ νῦν σφοδρῶς διαβάλλοντες. ἐκ τούτων καὶ Μέλιτός μοι ἐπέθετο καὶ Ανυτος καὶ Λύκων. Μέλιτος μὲν, ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος· Ανυτος δὲ, ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν· Λύκων δὲ, ὑπὲρ τῶν ῥητόρων. ὥστε (ὅπερ ἐγὼ ἀρχόμενος ἔλεγον) θαυμάζοιμ' ἂν, εἰ οἷός τ' εἰμὶ ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ, οὕτω πολλὴν γενομένην. ταῦτά ἐστιν ὑμῖν, ὦ ἄνδρες Αθηναῖοι, τἀληθῆ· καὶ ὑμᾶς ὅτε μέγα ὅτε σμικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω, οὐδὲ ὑποσειλάμενος. καίτοι οἶδα σφόδρα ὅτι τοῖς

ptu ſunt, me *ſcilicet* ſublimia perſcrutari, & quæ item ſub terra ſunt, deos vero eſſe non exiſtimare, & malam cauſam *dicendo* bonam *videri* efficere. Vera enim, credo, fateri nolunt, ſe *nempe* convictos fuiſſe, ſe ſcire aliquid præ ſe tuliſſe, cum nihil ſciant. Cum igitur, arbitror, ambitioſi & vehementes & multi ſint, ac compoſite & ad perſuadendum apte de me dixerint, veſtras aures impleverunt, me & jamdudum & nunc acriter calumniantes. Ex hiſce Melitus & Anytus & Lycon me ſunt adorti. Melitus quidem poetarum nomine mihi infeſtus; Anytus vero artificum atque civilium virorum; Lycon denique gratia rhetorum. Quamobrem (quemadmodum ab initio dicebam) admirarer equidem, ſi tantam iſtam invidiam, nunc in tam brevi tempore veſtris animis eximere poſſem. Hæc equidem, Athenienſes, vera vobis loquor; neque quicquam omnino vos celavi neque ſubtraxi: quamvis ferme norim me in his ipſis *dicendis*

αὐτοῖς ἀπεχθάνομαι. ὃ καὶ τεκμήριον, ὅτι ἀληθῆ λέγω, ᾗ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ, καὶ τὰ αἴτια ταῦτά ἐστι. καὶ ἐάν τε νῦν, ἐάν τε αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε. τοὺς μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγόρουν, αὕτη ἔστω ἱκανὴ ἡ ἀπολογία πρὸς ὑμᾶς.

ια'. Πρὸς δὲ Μέλιτον, τὸν ἀγαθὸν καὶ φιλόπολιν, ὡς φησι, καὶ τοὺ ὑστέρους, μετὰ ταῦτα πειράσομαι ἀπολογήσασθαι. αὖθις γὰρ δὴ (ὥσπερ τούτων ἑτέρων ὄντων κατηγόρων) λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δὲ ὧδέ πως· Σωκράτη φησὶν ἀδικεῖν, τούς τε νέους διαφθείροντα, καὶ θεοὺς, οὓς ἡ πόλις νομίζει, ἃ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστι. τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν. φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημὶ Μέλιτον, ὅτι σπουδῇ χαριεντίζεται, ῥᾳ-

in odium incurrere. Quod quidem etiam indicio eſt me vera loqui, atque talem eſſe invidiam, quæ mihi conflata eſt, ejuſque cauſas hujuſmodi eſſe. Et ſive nunc, ſive in poſterum in hæc inquiratis, ita eſſe invenietis. Ad illa igitur, quæ primi mei accuſatores de me detulerint, hæc mihi ſufficiat apud vos defenſio.

11. Ad Melitum vero bonum huncce, ut ipſe ait, & civitatis amantem, & ad *alios* ultimos *accuſatores* deinceps reſpondere conabor. Rurſus enim (quippe qui alii *a ſuperioribus iſtis* accuſatores ſint) horum accuſationem juramento præſtito ſuſceptam in medium adducamus. Habet vero ſe in hunc ferme modum: *Socrates* inquit, *injuſte agit, juventutemque corrumpens, ac deos, quos civitas cenſet, ipſe non cenſens, ſed alia quædam nova dæmonia.* Accuſatio quidem eſt hujuſmodi. Hujus autem accuſationis unamquamque partem diſcutiamus. Juvenes ergo corrumpendo me injuſte agere dicit. Ego vero, Athenienſes, Melitum injuſte agere dico, quod ſtudioſe cavilletur, te-

δίως εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενον σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν πώποτε τούτῳ ἐμέλησεν. ὡς δὲ τοῦτο οὕτως ἔχει, πειράσομαι ὑμῖν ἐπιδεῖξαι.

ιβ'. Καί μοι δεῦρο, ὦ Μέλιτε, εἰπέ, Ἄλλο τι ἢ περὶ πλείστου ποιῇ, ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται; Ἔγωγε. Ἴθι δὴ νυν, εἰπὲ τούτοις, τίς αὐτοὺς βελτίους ποιεῖ. δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. τὸν μὲν γὰρ διαφθείροντα ἐξεύρων, ὡς φῂς, ἐμὲ εἰσάγεις τουτοισί, καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦντα, ἴθι, εἰπὲ, καὶ μήνυσον αὐτοῖς τίς ἐστιν. ὁρᾷς, ὦ Μέλιτε, ὅτι σιγᾷς, καὶ οὐκ ἔχεις εἰπεῖν; καίτοι οὐκ αἰσχρόν σοι δοκεῖ εἶναι, καὶ ἱκανὸν τεκμήριον ὃ δὴ ἐγὼ λέγω, ὅτι σοι οὐδὲν μεμέληκεν; Ἀλλ' εἰπέ, ὦ ἀγαθέ, τίς αὐτοὺς ἀμείνους ποιεῖ. Οἱ νόμοι. Ἀλλ' ὃ τοῦτο ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις τυγχάνει καὶ τοῦτο οἶδε, τοὺς νόμους. Οὗτοι,

mere homines in judicii diſcrimen trahens, ſimulanſque ſe in iis rebus ſtudium ponere & de iis ſollicitum eſſe, quæ ipſi nunquam curæ fuerunt. Hoc autem ita eſſe conabor vobis etiam oſtendere.

12. Heus, Melite, dic mihi, Num id maximi facis, ut adoleſcentes quam optimi evadant? Equidem. Age ergo nunc, hiſce dicas, quiſnam illos meliores efficiat. Conſtat enim ſcire te, cum tibi id curæ ſit. Me enim corruptorem eorum, ut ais, deprehendiſti, & in judicium raptum jam apud hos accuſas; age vero, & eum, qui *juvenes* efficiat meliores, dic, & hiſce, quiſnam ſit, oſtende. Videſne Melite, te ſilere, & nihil habere, quod dicas? Atqui nonne turpe id tibi videtur, ac ſatis validum ejus, quod ipſe dico, indicium, te hæc nunquam curaſſe? Verum dic jam, bone vir, quiſnam eos meliores efficiat. Leges. At vero non id interrogo, vir optime, ſed quis homo, qui primum & hoc ipſum norit, *nempe* leges. Iſti

ὦ Σώκρατες, οἱ δικασταί. Πῶς λέγεις, ὦ Μέλιτε; οἵδε τοὺς νέους παιδεύειν οἷοί τε εἰσὶ καὶ βελτίους ποιεῖν; Μάλιστα. Πότερον ἅπαντες; ἢ οἱ μὲν αὐτῶν, οἱ δ' οὔ; Απαντες. Εὖ γε νὴ τὴν Ηραν λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων. τί δὲ δή; οἵδε ⓐ ἀκροαταὶ βελτίους ποιοῦσιν, ἢ οὔ; Καὶ οὗτοι. Τί δὲ οἱ βουλευταί; Καὶ ⓐ βουλευταί. Αλλ' ἆρα, ὦ Μέλιτε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ ἐκκλησιασταὶ διαφθείρουσι τοὺς νεωτέρους; ἢ καὶκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες; Καὶ ἐκεῖνοι. Πάντες ἄρα, ὡς ἔοικεν, Αθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι, πλὴν ἐμοῦ· ἐγὼ δὲ μόνος διαφθείρω. οὕτω λέγεις; Πάνυ σφόδρα ταῦτα λέγω. Πολλὴν γέ μου κατέγνωκας ἀτυχίαν. καί μοι ἀπόκριναι· ἢ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν, ⓐ μὲν βελτίους ποιοῦντες αὐτοὺς ἅπαντες ἄνθρωποι εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τἀναντίον τούτου πᾶν, εἷς μέν τις ὁ βελτίους γε οἷός τε ὢν

judices, Socrates. Quid vero, Melite, ais? Istine instituere juvenes possunt, & meliores reddere? Maxime. Utrum omnes? an alii quidem *possunt*, alii vero nequaquam? Omnes. Bene per Junonem loqueris, & magnam eorum, qui *juvenibus* prosint, copiam *commemoras*. Quid vero? istine auditores *juvenes* meliores efficiunt, an non? Et isti. Quid vero senatores? Et senatores. Sed enim, Melite, nonne cives, in concione *nonnulli*, adolescentes corrumpunt? An vero & hi omnes eos efficiunt meliores? Et hi quoque. Omnes igitur, ut videtur, Athenienses honestos illos bonosque reddunt præter me: ego autem corrumpo solus. Itane ais? Imo hæc ego quidem vehementer admodum affirmo. Magnæ tu quidem me damnas infelicitatis. At mihi responne, an & de equis idem putes, omnes *scilicet* homines eos bonos efficere, unum vero *duntaxat* esse, qui eos corrumpat? An omnino contra, unum esse, qui eos meliores reddere pos-

ποιεῖν, ἢ πάνυ ὀλίγοι οἱ ἱππικοί· οἱ δὲ πολλοί, ἐάν περ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλιτε, καὶ περὶ ἵππων καὶ τῶν ἄλλων ἀπάντων ζώων; πάντως δήπου, ἐάν τε σὺ καὶ Ἄνυτος μὴ φῆτε, ἐάν τε φῆτε. πολλὴ γὰρ ἂν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δὲ ἄλλοι ὠφελοῦσιν. ἀλλὰ γάρ, ὦ Μέλιτε, ἱκανῶς ἐπιδείκνυσαι ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων· καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις.

ιγ. Ἔτι δὲ ἡμῖν εἶπε, ὦ πρὸς Διὸς Μέλιτε, πότερον ἐστὶν οἰκεῖν ἄμεινον ἢ πολίταις χρηστοῖς, ἢ πονηροῖς. ὦ τᾶν, ἀπόκριναι. οὐδὲν γάρ τοι χαλεπὴν ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ ἀεί τι κακὸν ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω αὐτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι; Πάνυ γε. Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ζυνόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀπό-

sit, vel *certe* perpaucos equitandi peritos; vulgus autem hominum, si equos tractet, iisque utatur, eos corrumpere? Nonne ita se res habet, Melite, & de equis, & de cæteris omnibus animantibus? Ita prorsus, sive tu & Anytus id negetis, sive confiteamini. Etenim permagna juvenibus contingeret felicitas, si unus duntaxat eos corrumperet, cæteri vero prodessent. At, Melite, satis demonstras te nullam juventutis curam unquam habuisse; & tuam plane negligentiam ostendis, teque nunquam ea tibi studio habuisse, de quibus me accusas.

13. Præterea dic nobis per Jovem, Melite, utrum melius sit versari inter bonos cives, an inter malos. Responde, amice. Nihil enim difficile te rogo. Nonne mali semper mali aliquid iis afferunt, qui perpetuo proxime eos habitant, boni autem boni aliquid? Omnino. Estne igitur qui detrimentum suscipere potius quam emolumentum velit ab iis, quibus familiariter utitur? Re-

κεινα, ὦ γαθέ. καὶ γὰ ὁ νόμος κελεύει ἀποκρίνεσθαι. ἔσθ' ὅστις βούλεται βλάπτεσθαι; Οὐ δῆτα. Φέρε δή, πότερον ἐμὲ εἰσάγεις δεῦρο, ὡς διαφθείροντα τοὺς νέους, καὶ τούτους πονηροτέρους ποιοῦντα, ἑκόντα, ἢ ἄκοντα; Ἑκόντα, ἔγωγε. Τί δή ποτ', ὦ Μέλιτε, τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος, τηλικόσδε ὤν, ὥστε εὖ μὲν ἔγνωκας ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ, ἀγαθόν τι· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτο ἀγνοῶ, ὅτι ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ὑπ' αὐτοῦ· ὥστε τοῦτο τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῂς σύ; ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλιτε, οἶμαι δὲ οὐδὲ ἄλλων ἀνθρώπων οὐδένα· ἀλλὰ ἢ οὐ διαφθείρω, ἢ διαφθείρω ἄκων. ὥστε σύ γε κατ' ἀμφότερα ψεύδῃ. εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων καὶ ἀκουσίων ἁμαρτημάτων οὐ

sponde, vir bone. Lex enim te respondere jubet. Estne aliquis, qui damnum pati velit? Nequaquam. Age ergo, tu me huc in judicium vocas, quasi juvenum corruptorem; malos volensne facio, an nolens? Equidem volentem *te id facere dico.* Quid vero, tune, Melite, qui tanto minor natu es, usque adeo me ætate tam provecto sapientior es, ut plane quidem cognoscas malos semper obesse iis, qui proxime ipsos sint, bonos vero prodesse; ego autem eo insciliæ processi, ut hoc etiam ignorem, si quem ex familiaribus malum reddidero, periculum mihi impendere, ne quid ab eo mali accipiam; ideoque hoc tantum, ut tu ais, malum volens facio? Hac quidem in re tibi, Melite, non credo, neque aliorum, opinor, mortalium quisquam: sed aut non *omnino* corrumpo *adolescentes*, aut *certe* invitus eos corrumpo. Quapropter tu in utroq; mentiris. At si invitus corrumpo, non huc in judicium me ob ea, quæ hoc modo imprudens

δεῦρο νόμος εἰσάγειν ἐστὶν, ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν. δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι ὅδε ἄκων ποιῶν. σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας· δεῦρο δ' εἰσάγεις, οἷ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως. ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστὶν, ὃ ἐγὼ ἔλεγον, ὅτι Μελίτῳ τούτῳ ὅτε μέγα οὔτε μικρὸν πώποτε ἐμέλησεν.

ιδ'. Ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φὴς διαφθείρειν, ὦ Μέλιτε, τοὺς νεωτέρους. ἢ δῆλον ὅτι κατὰ τὴν γραφὴν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν, οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; οὐ ταῦτα λέγεις ὅτι διδάσκων διαφθείρω; Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω. Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλιτε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστὶν, εἰπὲ ἔτι σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσι τουτοισίν. ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν, πότερον λέγεις δι-

deliquerim, lex trahi jubet, ſed privatim doceri atque admoneri. Conſtat enim, ſi didicero, non amplius me id facturum, quod invitus facio. Tu autem mecum verſari & me docere refugiſti atque detrectaſti; ſed in judicium rapuiſti, quo eos trahi lex jubet, qui pœna indigent, non qui diſciplina. Jam vero ex his manifeſtum eſt, Athenienſes, quod modo dicebam, nullam hunc Melitum omnino *hac de re* curam geſſiſſe.

14. Veruntamen dic nobis, qua ratione me aſſeras, Melite, juventutem corrumpere. Annon ideo plane, ut ex accuſationis tuæ libello liquet, quod doceam illos deos eſſe non exiſtimare, quos civitas exiſtimat, ſed alia quædam nova dæmonia? Annon hæc docendo affirmas me *juvenes* corrumpere? Omnino quidem vehementer hæc aſſero. Per deos igitur ipſos, Melite, de quibus nunc nobis eſt ſermo, apertius & mihi & hiſce, *quid velis*, enarra. Nam ego quidem intelligere non poſſum, utrum dicas

δάσκειν με νομίζειν εἴ) τινὰς θεούς· (καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τοπαράπαν ἄθεος, οὐδὲ ταύτῃ ἀδικῶ·) ὁ μέντοι ὥσπερ γε ἡ πόλις, ἀλλ' ἕτερος· ᾗ τοῦτ' ἔστιν ὃ μοι ἐγκαλεῖς, ὅτι ἕτερος· ἢ παντάπασί με φὴς ὅτε αὐτὸν νομίζειν θεός, τοῖς τε ἄλλοις ταῦτα διδάσκειν. Ταῦτα λέγω, ὡς τοπαράπαν ὁ νομίζεις θεός. Ω θαυμάσιε Μέλιτε, ἱνατί ταῦτα λέγεις; οὐδὲ ἥλιον, οὐδὲ σελήνην ἄρα νομίζω εἴ) θεός, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι; Μὰ Δί', ὦ ἄνδρες δικασταί· ἐπεὶ τό γε ἥλιον, λίθον φησὶν εἴ)· τὴν δὲ σελήνην, γῆν. Ἀναξαγόρου οἴῃ καλλιγορεῖν, ὦ φίλε Μέλιτε· ᾗ οὕτω καταφρονεῖς τῶνδε, καὶ οἴῃ αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥστε οὐκ εἰδέναι ὅτι τὰ Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων. καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἂν τοῦ ὀρχήσεως πριαμένοις, Σωκράτους καταγελᾶν, ἐὰν σφόδρα ἑαυτοῦ εἶναι, ἄλλως τε

docere me *juvenes* aliquos quidem deos esse putare; (quod si ita est, ego deos esse puto, neque prorsus atheus sum, neque in hoc injuste ago) non autem eos, quos civitas, sed alios: atque hoc est, quod de me criminaris, quod *deos* alios *inducam*; an me omnino affirmes nullos esse deos ipsum existimare, atque hæc alios quoque docere. Hæc dico, te nullos omnino deos esse existimare. O egregie Melite, cur ista dicis? Neque solem igitur, neque lunam esse deos credo, sicut homines cæteri? *Non* per Jovem, judices: nam solem quidem lapidem esse dicit, lunam vero terram. Anaxagoram quidem, amice Melite, te accusare putas, atque hosce ita contemnis, & existimas eos literarum adeo ignaros esse, ut nesciant libros Anaxagoræ Clazomenii hujusmodi commentis esse plenos. Jam vero juvenes hæc a me discunt, quæ licet interdum illis drachmæ ad summum pretio emere ex orchestra, ac deinde Socratem deridere, si sua esse fingat, præsertim

καὶ οὕτως ἄτοπα ὄντα. Ἀλλ' ὦ πρὸς Διός, οὕτωσί σοι δοκῶ οὐδένα νομίζειν θεὸν εἶναι; Οὐ μέντοι μὰ Δία, οὐδ' ὁπωστιοῦν. Ἄπιστός γ' εἶ, ὦ Μέλιτε, καὶ ταῦτα, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. ἐμοὶ μὲν γὰρ δοκεῖ οὗτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τῇ γραφῇ ταύτῃ ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γέγραφεν. ἔοικε γὰρ ὥσπερ αἴνιγμα ξυντιθέντι, καὶ διαπειρωμένῳ, Ἆρα γνώσεται Σωκράτης ὁ σοφὸς ὃν ἐμοῦ χαριεντιζομένου, καὶ ἐναντία ἐμαυτῷ λέγοντος; ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς ἀκούοντας; Οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς αὑτῷ ἐν τῇ γραφῇ, ὥσπερ ἂν εἰ εἴποι, Ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. Καίτοι τοῦτό ἐστι παίζοντος.

ιέ. Συνεπισκέψασθε δή, ὦ ἄνδρες, ἢ μοι φαίνεται ταῦτα λέγειν. σὺ δὴ ἡμῖν ἀπόκρινα, ὦ Μέλιτε. ὑμεῖς δὲ (ὅπερ καὶ ἀρ-

cum tam abſurda ſint. Sed per Jovem, putaſne ita me revera nullum eſſe deum exiſtimare? Nullum prorſus per Jovem ullo modo. Incredibilia, Melite, dicis, & quidem, ut mihi videtur, tibi ipſi. Mihi enim, Athenienſes, omnino contumelioſus ac petulans iſte vir videtur, & hanc accuſationem contumeliæ quodam ſtudio, petulantiaque, & juvenili temeritate plane impulſus conſcripſiſſe. Videtur enim quaſi ænigma compoſuiſſe, & tentare, An ſapiens ille Socrates deprehendet me cavillantem, mihique ipſi contraria dicentem? an ipſum una cum auditoribus cæteris decipiam? Hic namque repugnare ſibimet in ipſis accuſationis verbis mihi videtur, quaſi diceret, Contra leges agit Socrates deos eſſe non putans, ſed deos eſſe putans. Atqui hoc certe ludentis eſt.

15. Perpendite vero mecum, viri, quomodo iſte mihi hæc dicere videtur. Tu autem reſponde nobis, Melite. Sed vos (quemadmodum ab ini-

χὰς ὑμᾶς ὠφελῆσαι μὴν) μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν οἷ τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. ἔστιν ὅστις ἀνθρώπων, ὦ Μέλιτε, ἀνθρώπεια μὲν νομίζει πράγματα εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα ἀλλα θορυβείτω. ἔστ' ὅστις ἵππους μὲν ὑ νομίζῃ, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲ ὑ νομίζῃ, αὐλητικὰ δ' πράγματα; οὐκ ἔστιν, ὦ ἄνδρες ἀνδρῶν. εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγώ σοι λέγω καὶ τοῖς ἄλλοις τουτοισίν. ἀλλὰ ὅ' ὅπα τούτῳ ἀπόκρινα· ἔστ' ὅστις δαιμόνια μὲν νομίζῃ πράγματα εἶναι, δαίμονας δὲ οὐ νομίζει; Οὐκ ἔστιν. Ὡς ὤμοσας, ὅτι μόλις ἀπεκρίνω, ὑπὸ τουτωνὶ ἀναγκαζόμενος. οὐκοῦν δαιμόνια μὲν φὴς με ἢ νομίζειν ἢ διδάσκειν, εἴτ' οὖν καινὰ, εἴτε παλαιά; ἀλλ' οὖν δαιμόνιά γε νομίζω, κατὰ τ' σὸν λόγον· ἢ ταῦτα καὶ [1] διομόσω ἐν τῇ ἀντιγραφῇ. εἰ δὲ ἐ δαιμόνια

tio oravi) memineritis mihi non obſtrependum eſſe, ſi pro more meo verba faciam. Eſtne quiſquam, Melite, qui res humanas quidem eſſe putat, homines vero nequaquam? Reſpondeat, viri, neque modo in his modo in illis obſtrepat. Eſtne aliquis, qui equos non putat eſſe, res tamen equeſtres *eſſe putat?* vel tibicines quidem non eſſe exiſtimat, tibicinum vero opera *eſſe?* Non eſt quiſquam, virorum optime. Ego enim *pro te* & tibi & his aliis loquor, ſiquidem ipſe non vis reſpondere. Sed ad hoc, quod ſequitur, reſponde: eſtne quiſquam, qui dæmonum quidem opera eſſe putat, dæmonas autem minime? Non eſt. Quam me juviſti, quod vix reſpondiſti, *nec niſi* ab his coactus? Nonne igitur dæmonum opera eſſe confiteris me & putare & docere, ſive nova, ſive vetera ſint? At certe *δαιμόνια ſive dæmonum opera* eſſe ipſe me exiſtimare aſſeris; atque id etiam in accuſationis libello juraſti. Quod ſi dæmonum opera eſſe

1 Forſan *διωμόσω*

νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νομίζειν με εἶναι. οὐχ οὕτως ἔχει; ἔχει δή. τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ σὺ οὐκ ἀποκρίνῃ. τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα εἶναι, ἢ θεῶν παῖδας; φῄς, ἢ οὔ; Πάνυ γε. Οὐκοῦν, εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινες εἰσὶν οἱ δαίμονες, τοῦτ' ἂν εἴη, ὃ ἐγὼ φημί, σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι με θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι; εἰ δὲ αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινές, ἢ ἐκ νυμφῶν, ἢ ἔκ τινων ἄλλων, ὧν δή τινες λέγουσι, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ ἂν εἴ τις ἵππων μὲν παῖδας [1]ἡγοῖτο ἢ καὶ ὄνων, τοὺς ἡμιόνους, ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο εἶναι. ἀλλ', ὦ Μέλιτε, οὐκ ἔστιν ὅπως σὺ ταῦτα οὐκὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω τὴν γραφὴν ταύτην,

puto, neceſſarium eſt omnino putare me dæmonas quoque eſſe. An non ita ſe res habet? Ita certe. Pono enim te confitentem, quandoquidem non reſpondes. Dæmonas autem nonne aut deos eſſe arbitramur, aut deorum filios? fateriſne hoc, an non? Prorſus. Nonne ergo, cum dæmonas eſſe arbitror, ut tu ais, ſi quidem dæmones dii quidam ſunt, tum ita ſe res habet, uti ego dico, te *nempe* ænigma quoddam proponere & cavillari, dicentem, me, cum deos non eſſe exiſtimem, deos tamen eſſe rurſus exiſtimare, quandoquidem dæmonas eſſe duco? Sin vero dæmones deorum ſpurii quidam filii ſunt, aut ex nymphis, aut ex aliis quibuſdam, unde quidem orti dicuntur, quiſnam hominum filios quidem deorum eſſe putet, deos vero minime? Perinde enim id abſurdum foret, ac ſi quis equorum quidem filios aſinorumque, *nempe* mulos, eſſe putaret, equos autem & aſinos eſſe non putaret. Verum, Melite, *utrinque* neceſſario conſtat te hanc adverſus me *ideo* inſtituiſſe accuſationem, vel

1 Forſan ἡγοῖτο καί.

ἢ ἀπορῶν ὅ, τι ἐγκαλοῖς ἐμοὶ ἀληθὲς ἀδίκημα. ὅπως ἢ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων, ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ, μήτε δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμία μηχανή ἐστιν. ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀδικῶ κατὰ τὴν Μελίτου γραφήν, ἱκανά μοι δοκεῖ εἶναι ἀπολογία· ἀλλὰ ἱκανὰ καὶ ταῦτα.

ιϛ'. Ὃ δὴ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέχθεια γέγονε καὶ ὑφ' ὑμῶν πολλή, εὖ ἴστε ὅτι ἀληθές ἐστι. καὶ τοῦτ' ἔστιν, ὁ ἐμὲ αἱρήσει, ἐάν περ αἱρῇ, οὐ Μέλιτος οὐδὲ Ἄνυτος, ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος· ἃ δὴ πολλοὺς καὶ ἄλλους καὶ ἀγαθοὺς ἄνδρας ἥρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν. οὐδὲν δὲ δεινὸν μὴ ἐν ἐμοὶ στῇ. ἴσως δ' ἂν οὖν εἴποι τις, Εἶτ' οὐκ αἰσχύνῃ, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ

ut meam tentares *ſapientiam*, vel quod veri criminis nihil haberes, quod mihi objiceres. Nullo autem modo fieri poteſt, ut ulli, qui vel tantillum ſanæ mentis habeat, perſuadeas, ejuſdem eſſe hominis & dæmonum & deorum opera eſſe, & rurſum ejuſdem, neque dæmonas neque deos neque heroas eſſe, exiſtimare. Itaque, Athenienſes, *ut oſtendam* me quidem crimine mihi a Melito intentato minime teneri, defenſione longa egere mihi nequaquam videtur; hæc autem, *quæ dixi*, abunde ſufficiunt.

16. Quod autem ſuperius dicebam, magnum mihi odium & apud multos conflatum eſſe, id pro certo habeatis. Atque hoc profecto me condemnabit, ſi quidem id accidat, non Melitus neque Anytus, ſed vulgi odium & invidia; quæ quidem multis etiam aliis viris, iiſque bonis, cur condemnarentur, in cauſa fuerunt, & itidem in poſterum, ut opinor, erunt. Haud enim timendum eſt, ne hæc in me finem habeant. Verum aliquis forſitan dicat, Nonne ergo te pudet, Socrates, vitæ inſtitutum ejuſmodi ſecutum eſſe, ex quo

κινδυνεύεις νυνὶ ἀποθανεῖν; Ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι, Οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν· ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαια, ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα, ἢ κακοῦ. φαῦλοι γὰρ ἂν, τῷ γε σῷ λόγῳ, εἶεν τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν, οἵτε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός· ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησε, ὥστε καὶ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστε, ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὕτωσί πως, ὡς ἐγὼ οἶμαι, Ὦ παῖ, εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον, καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανῇ. αὐτίκα γάρ τοι, φησί, μετ' Ἕκτορα πότμος ἑτοῖμος. Ὁ δὲ, τοῦτ' ἀκούσας, τοῦ μὲ θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε· πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὢν, καὶ τοῖς φίλοις μὴ τιμωρεῖν,

jam in capitis periculum venis? Huic autem ego ſermonem hunc merito opponam, Haud recte, mi homo, loqueris, ſi putas vitæ mortiſque diſcrimen aliquo loco habendum eſſe homini, qui vel ad parva quævis utilis ſit; ac non hoc *potius* duntaxat reſpiciendum, quoties aliquid agat, utrum juſta agat, an injuſta, & boni viri opera, an mali. Nam ex hac tua oratione viles eſſent ſemidei omnes, quotcunque apud Trojam occubuerunt, cum alii, tum vero Thetidis filius; qui uſque adeo *mortis* contempſit periculum, præ turpis alicujus facti dedecore, ut cum ei Hectorem interficere cupienti mater, ipſa dea, dixiſſet, his ferme, ut arbitror, verbis: O fili, ſi Patrocli amici tui cædem ulciſcaris, & Hectorem interficias, ipſe periturus es; ſtatim enim, inquit, poſt Hectorem *interfectum* tibi mors imminet. Ille vero, cum hoc audiviſſet, mortis quidem diſcrimen contempſit; multo autem magis timens turpem vitam, inultis amicorum injuriis,

Αὐτίκα, φησὶ, τεθναίην, τιμὼ δίκην ὑπόθεις τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν, ἄχθος ἀρούρης. Μὴ αὐτὸν οἴει φεύγοντος θανάτου καὶ κινδύνου; οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· ὃν ἄν τις ἑαυτὸν τάξῃ, ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον μήτε ἄλλο τι μηδὲν πρὸ τοῦ αἰσχροῦ.

17. Ἐγὼ οὖν δεινὰ ἂν εἶην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ, καὶ ἐν Ἀμφιπόλει, καὶ ὑπὸ Δηλίῳ, τότε μὲν οὐκ ἐκεῖνοι ἔταττον, ἔμενον, ὥσπερ καὶ ἄλλος τις, καὶ ἐκινδύνευον ἀποθανεῖν· ὑπὸ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν, καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους· ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶ-

Statim, inquit, mori veliem, pœnis ab injuſto *hoſte* expetitis, ne hic moras traham apud naves curvatas ridendus, telluris pondus inutile. Illumne arbitraris de mortis periculo ſollicitum fuiſſe? Etenim ita plane ſe res habet, Athenienſes: quo quiſque in loco vel ſeipſum conſtituerit, arbitratus id optimum eſſe, vel a magiſtratu conſtitutus fuerit, ibi, ut mihi videtur, permanere oportet, & periculum quodvis ſubire, nullam neque mortis neque alterius cujuſvis rei *fugiendæ* rationem magis habentem quam turpitudinis.

17. Ego itaque, Athenienſes, graviter deliquiſſem, ſi cum ii me collocaſſent præfecti, quos ipſi mihi præpoſueratis, & apud Potideam, & apud Amphipolim, & apud Delium, tunc quidem, ubi illi me conſiſtere juſſerant, ibi conſtitiſſem, ut quivis alius, mortiſque diſcrimen ſuſtinuiſſem; cum vero deus ſtatuiſſet, quemadmodum ego opinabar atque exiſtimabam, me philoſophantem vivere oportere, ac me ipſum alioſque tentantem; hic ob mortis alteriuſve cujuſvis

γμα, λείποιμι τὴν τάξιν. δεινὸν μέν τ' ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἂν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ, καὶ δεδιὼς θάνατον, καὶ οἰόμενος σοφὸς εἶναι, οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν, ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα. δοκεῖν γὰρ εἰδέναι ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τ' ἀγαθῶν· δεδίασι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τὸ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ γὰρ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων· καὶ εἰ δή τῳ σοφώτερός τῳ φαίην εἶναι, τούτῳ ἂν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν ᾅδου, οὕτω καὶ οἰόμενος οὐκ εἰδέναι. τὸ δὲ ἀδικεῖν, καὶ τὸ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν, οἶδα. τοὺς δὴ τ' κακῶν, ὧν

rei metum ordinem deſererem. Pergrave, *inquam*, id eſſet, & tunc revera me merito quis in judicium traheret, quaſi deos non putarem, quippe qui oraculo non obtemperarem, mortemque timerem, & memet ſapientem putarem, quum minime eſſem. Nam mortem timere, viri, nihil aliud eſt, quam ſapientem ſibi videri, qui minime ſit. Nempe hoc ſcire videri eſt quæ neſciat. Nemo enim ſcit, quin mors quidem bonorum omnium ſummum homini ſit: metuunt autem perinde ac ſi probe ſcirent eam malorum maximum eſſe. Hoc autem non poteſt non eſſe inſcitia maxime vituperanda, ea *ſcilicet* aliquem ſe ſcire putare, quæ neſciat. Ego vero, viri, hac in re forſan vulgo hominum antecello; ac ſi qua in re ſapientiorem me aliquo eſſe dicerem, in hac *utique dicerem*, quod, cum haud ſatis ea, quæ apud inferos ſint, norim, ita & ea me neſcire perſuaſum habeo: injurias autem inferre, præſtantiorique, ſeu deus, ſive homo ſit, non obtemperare, malum turpeque eſſe ſcio. Illa igitur, quæ

οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθά ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι. ὥστε οὐδὲ εἰ με νῦν ὑμεῖς [1] ἀφίετε (Ανύτῳ ἀπειθήσαντες, ὃς ἔφη ἢ τ' ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν, ἢ ἐπειδὴ εἰσῆλθον, οὐκ οἷόν τ' εἶ) τὸ μὴ ἀποκτεῖναί με· λέγων πρὸς ὑμᾶς ὡς, εἰ ἀφαφυξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς ὑπιτηδεύοντες ἃ Σωκράτης διδάσκει, πάντες παντάπασι διαφθαρήσοιντο) εἰ μοι πρὸς ταῦτα εἴποιτε, Ω Σώκρατες, νῦν μὲν Ανύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφιέμέν σε· ὑπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει διατρίβειν, μηδὲ φιλοσοφεῖν· ἐὰν δὴ ἁλῷς ἔτι τοῦτο πράττων, ἀποθανῇ. Εἰ οὖν με, ὅπερ εἶπον, ὑπὶ τούτοις ἀφίοιτε, εἴποιμ' ἂν ὑμῖν, Οτι ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Αθηναῖοι, ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ τῷ θεῷ μᾶλλον ἢ ὑμῖν· καὶ ἕως-περ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσομαι φιλοσοφῶν, καὶ

nescio quin bona sint, nunquam magis timebo neque fugiam, quam mala hæc, quæ mala esse scio. Quamobrem si me nunc dimitteretis (repudiato Anyti consilio, qui aiebat aut me huc *in judicium* omnino non vocandum fuisse, aut, quandoquidem vocatus sum, necessario morte damnandum; vobis dicens futurum, si effugiam, ut filii vestri, sese statim in iis rebus, quas Socrates docet, exercentes, omnes omnino corrumpantur) si, *inquam*, ad hæc vos mihi diceretis, O Socrates, nunc quidem Anyto minime obtemperabimus, sed te immunem dimittimus; hac tamen *conditione*, ut nunquam posthac in hac disquisitione versaris, neque philosopheris: quod si id in posterum agere deprehendaris, moriere. Si igitur, ut dicebam, hisce *conditionibus* dimittere me velletis, vobis dicerem, O Athenienses, colo vos quidem atque amo, deo tamen parere malo quam vobis; & quamdiu spirabo viresque suppetent, philosophari non desinam, sin-

1 Forsan ἀφίοιτε *Steph.*

ὑμῖν προσκελεύομαί τε καὶ ἐνδείκνυμαι, ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων οἷά περ εἴωθα, Ὅτι, ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν οὐκ αἰσχύνῃ ὅπως μελόμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς· φρονήσεως δὲ καὶ ἀληθείας, καὶ τῆς ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελῇ οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισβητήσῃ, καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν, οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω καὶ ἐλέγξω. καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν, φάναι δὲ, ὀνειδίῳ, ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα, περὶ πλείονος. ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ· μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μοι ἐγγυτέρω ἐστὲ γένει. ταῦτα γὰρ κελεύει ὁ θεὸς, εὖ ἴστε. καὶ ἐγὼ οἶμαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ

guloſque hortari & docere, in quemcunque veſtrum incidero, talia pro more meo dicens, Tune, vir optime, cum civis ſis Athenienſis, civitatis ampliſſimæ ac ſapientia & potentia præſtantiſſimæ, non erubeſcis in eo quidem operam ponere, quo tibi pecuniarum & gloriæ & honoris quam plurimum ſit; prudentiæ vero & veritatis, animique tui, ut quam optimus evadat, nullam curam geris neque rationem habes? Et ſi quis veſtrum *mecum* contenderit, ea ſe curare aſſeverans, haud ſtatim dimittam illum, neque recedam, ſed ipſum ſciſcitabor, tentabo, redarguam. Quod ſi mihi videatur virtute non eſſe præditus, & eam tamen præ ſe ferre, objurgabo, quod ea, quæ plurimi ſunt, minimi pendat, viliora vero pluris *faciat*. Hæc & juniori & ſeniori, in quemcunque incidero, præſtabo, *itemque* & peregrino & civi; magis autem civibus, quanto mihi genere propinquiores eſtis. Hæc enim, pro certo habeatis, deus ipſe jubet. Et reor nullum unquam majus bonum vobis in civitate contigiſſe quam hoc

τ' ἐμὴν ὑπ' θεῷ ὑπηρεσίαν. οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι, ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι, μήτε χρημάτων πρότερον, μήτε ἄλλου τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται· λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα, καὶ τἆλλα τἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτα ἂν εἴη βλαβερά· εἰ δέ τίς με φησὶν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα φαίην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ, ἢ μή· καὶ ἢ ἀφίετέ με, ἢ μή· ὡς ἐμοὶ οὐκ ἂν ποιήσοντι ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

ιη'. Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν. καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ ἄττα

meum miniſterium, quod deo parens ſubeo. Nihil enim aliud agens circumeo, quam ſuadens junioribus ſenioribuſque veſtrum, neque corporum, neque divitiarum, neque alterius cujuſvis rei curam prius, *imo nec* tantum, quantum animi, ut quam optimus ſit, habendam eſſe; dicens non ex divitiis virtutem, ſed ex virtute divitias, aliaque bona omnia & privatim & publice hominibus provenire. Si igitur hæc dicendo juvenes corrumpo, eſſent hæc pernicioſa: at ſi quis dicat me alia quam hæc docere, nihil dicit. Ad hæc dicerem, Athenienſes, vel Anyto fidem adhibete, vel non; & vel me dimittite, vel non; quippe qui nihil aliud facturus ſim, nec ſi mihi ſit ſæpius moriendum.

18. Ne obſtrepatis, Athenienſes, ſed in ea re perſeveretis, quam a vobis petebam, ne mihi *nimirum* ob ea, quæ dicam, obſtrepatis, ſed *potius* auſcultetis. Erit enim vobis, ut ego arbitror, utile, ſi audiatis. Vobis etenim alia non-

ἐρεῖν ὑμῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε, τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς. ἐμὲ μὲν γὰρ οὐδὲν βλάψει οὔτε Μέλιτος οὔτε Ἄνυτος. οὐδὲ γὰρ ἂν δύναιντο. οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μέντ' ἂν ἴσως, ἢ ἐξελάσειεν, ἢ ἀτιμάσειεν· ἀλλὰ ταῦτα οὗτός ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά· ἐγὼ δὲ οὐκ οἶομαι· ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὗτοσὶ νῦν ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι· (ὡς τις ἂν οἴοιτο) ἀλλ' ὑπὲρ ὑμῶν, μὴ ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν, ἐμοῦ καταψηφισάμενοι. ἐὰν γὰρ με ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς (εἰ καὶ γελοιότερον εἰπεῖν) προσκείμενον τῇ πόλει ὑπὸ τοῦ

nulla dicturus ſum, quorum cauſa forſitan clamorem tolletis: verum hoc nequaquam agatis. Id enim pro certo habetote, ſi me occideritis, talem, qualem ego *me eſſe vobis* dico, non me læſuros eſſe vos magis quam vos ipſos. Me quidem neque Melitus neque Anytus omnino lædet. Neque enim poſſent. Siquidem nefas eſt, ut arbitror, meliorem virum a deteriore lædi. Me forſan morte, vel exilio multare, aut civitatem mihi adimere poſſit; at hæc iſte quidem & alius quiſpiam ingentia putet eſſe mala; ego vero non puto; ſed multo potius *malum eſſe* illa facere, quæ iſte nunc facit, quippe qui virum injuſte occidere aggreditur. Nunc igitur, Athenienſes, longe abeſt, ut ego pro me ipſo defenſionem inſtituam; (quemadmodum aliquis arbitraretur) at *potius* veſtri cauſa *hæc dico*, ne quid, me condemnando, adverſus donum, quod a deo accepiſtis, delinquatis. Si enim me interfeceritis, haud facile alium talem reperietis, plane (etſi id dictu nimis ridiculum ſit) civitati veſtræ a deo

θεῦ, ὥσπερ ἵππῳ μεγάλῳ μὲ καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθροτέρῳ, καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος. οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων, καὶ πείθων, καὶ ὀνειδίζων ἕνα ἕκαστον, οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην πανταχοῦ προσκαθίζων. τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες. ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου. ὑμεῖς δ' ἴσως ταχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείνητε· εἶτα τὸν λοιπὸν χρόνον καθεύδοντες διατελοῖτε ἄν, εἰ μή τινα ἄλλον ὑμῖν ὁ θεὸς ἐπιπέμψειε, κηδόμενος ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν καταμάθοιτε. οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τὰ μὲ ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι, καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ

appoſitum, velut equo magno quidem & generoſo, præ mole tamen ſua pigriori, & qui aſilo quodam excitandus eſt. Talem ergo quendam me videtur deus civitati appoſuiſſe, qui unumquemque veſtrum excitans, & ſuadens, & objurgans, non ceſſo diem totum ubique *vobis* aſſidere. Alter ergo hujuſmodi vobis, viri, non facile continget. At ſi mihi credideritis, a cæde mea abſtinebitis. At vos forſan indignabundi, veluti ii qui dormitantes excitantur, me pulſantes, Anytique conſilium ſequentes, temere interfeceritis: *ſin autem id agatis*, deinceps reliquum tempus dormietis, niſi forſan deus veſtrum curam gerens, alium quendam vobis immiſerit. Me vero hujuſmodi eſſe, ut a deo civitati additus fuerim, hinc poteſtis animadvertere. Non enim humanum videtur me mea quidem omnia omnino neglexiſſe, atque hunc rei familiaris neglectum tot annos jam ſuſtinuiſſe, in rebus vero veſtris agendis totum verſari, unum-

ἑκάστῳ προσιόντα, ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ μέν τοι τι ἀπὸ τούτων ἀπέλαυον, καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχεν ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοὶ ὅτι οἱ κατήγοροι, τἆλλα πάντα οὕτως ἀναισχύντως κατηγορηκότες, τοῦτό γε οὐκ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι, προσαχόμενοι μάρτυρα, ὡς ἐγώ ποτε τινὰ ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γὰρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

ιθ'. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα συμβουλεύω, πρεπόντως καὶ πολυπραγμόνως· δημοσίᾳ δὲ οὐ τολμῶ, ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον, ξυμβουλεύειν τῇ πόλει. τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοί θεῖόν τι καὶ δαιμόνιον γίγνεται, φωνή· ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳ-

quemque ſingulatim adeundo, tanquam patrem aut fratrem natu majorem, ſuadentem, ut curam virtutis habeat. Quod ſi quid exinde emolumenti mihi proveniret, ac mercede accepta hæc hortarer, *humana* quædam *cur id agerem*, non deeſſet ratio: nunc vero & ipſi quidem videtis, accuſatores meos, qui adeo impudenter alia contra me omnia coacervarunt, hoc tamen, pudore prorſus depoſito, nequaquam auſos eſſe objicere, teſteſque adhibere, *qui probent* me ullam unquam mercedem exegiſſe aut petiiſſe. Hæc autem a me vere dici, idoneum ſatis, ut arbitror, teſtem affero, paupertatem meam.

19. Forſan ergo abſurdum *alicui* videri poteſt, me privatim hæc conſulere *ſingulis*, circumeuntem & ſatagentem; publice vero in conciones veſtras prodire non audere, & civitati conſulere. Hujus autem rei hæc cauſa eſt, quam ſæpe a me paſſim audiviſtis dicente, divinum quiddam atque a dæmone profectum, vocem *ſcilicet* mihi adeſſe; quod quidem Melitus in accuſatione ſua

δῶν Μέλιτος ἐγράψατο. ἐμοὶ δὲ τοῦτό ἐστιν οὐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη· ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔ ποτε. τοῦτό ἐστιν, ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. καὶ παγκάλως δέ μοι δοκεῖ ἐναντιοῦσθαι. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλειν, κοὐδὲν ἂν ὑμᾶς ὠφελήκειν οὐδέν, ὅτ' ἂν ἐμαυτόν. καί μοι μὴ ἀχθεσθε λέγοντι τἀληθῆ. οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται, οὔτε ὑμῖν, οὔτε ἄλλῳ οὐδενὶ πλήθει γνησίως ἐναντιούμενος, καὶ διακωλύων πολλὰ
1. 32 ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι· ἀλλὰ ἀναγκαῖόν ἐστι τῷ ὄντι μαχόμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

κ'. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ' (ὃ ὑμεῖς πλείστου ποιεῖσθε) ἔργα. ἀκούσατε δή

sale comico perſtrinxit. Hoc vero mihi a puero incepit, vox *ſcilicet* quædam; quæ, quoties fit, ſemper me revocat ab ea re, quam facturus eram, nunquam vero *ad aliquid ſuſcipiendum* impellit. Hoc eſt, quod mihi, ne res civiles capeſſam, adverſatur: & recte admodum mihi adverſari videtur. Id enim pro certo habetote, Athenienſes, ſi negotia publica olim gerere aggreſſus fuiſſem, jampridem periiſſem, atque nullam aut vobis aut mihi ipſi utilitatem attuliſſem. Nec mihi vera dicenti ſuccenſeatis. Nemo enim ſalvus eſſe poteſt, qui aut veſtro aut alii cuivis populo vere adverſatur, impeditque, quo minus multa injuſta atque iniqua in civitate fiant: ſed neceſſe eſt eum, qui revera juſtitiæ propugnaturus ſit, ſi vel ad parvum tempus incolumis eſſe velit, privatim degere, neque rempublicam attingere.

20. Horum autem magna vobis afferam argumenta, non verba, ſed (quod vos magni æſtimatis) facta. Audite ergo

μοι τὰ ξυμβεβηκότα, ἵνα εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπείκοιμι παρὰ τὸ δέον, δείσας θάνατον· μὴ ὑπείκων [1] δὲ, ἅμα καὶ ἅμ' ἂν ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς, τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας, ἐβουλεύσασθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους, καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἄγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μᾶλλον ἐδοξεν ἐμοὶ τῷ δικαίῳ ᾧμην μᾶλλόν με δεῖν ξὺν κινδυνεύειν, ἢ μετ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα δεσμὸν

quæ mihi contigerunt, ut perſpiciatis me eum eſſe, qui nemini contra jus & æquum mortis metu ceſſurus ſim; non cedendo autem ſimul prorſus ſim interiturus. Dicam autem vobis arrogantia quidem atque judicialia, vera tamen. Ego enim, Athenienſes, nullum alium unquam in civitate magiſtratum geſſi, ſenatorium vero munus obii; & contigit, ut tribus noſtra Antiochea eo tempore comitiis præeſſet, quo vos decem illos duces, qui navali pugna *interemptos* non ſuſtulerant, damnandos ſimul omnes cenſuiſtis, injuſte *quidem*, quemadmodum unicuique veſtrum poſtea videbatur. Tunc ego ſolus e prytanibus me vobis oppoſui, nequid ageretis præter leges, & contrarium ſuffragium tuli; & cum oratores ad me deferendum atque in judicium trahendum parati eſſent, voſque ipſi ingenti clamore *idem* juberetis, exiſtimavi oportere me potius cum lege atque juſtitia in periculo verſari, quam vobiſcum injuſta ſtatuentibus ſtare, metu carceris

1 Forſan δὲ, καὶ ἅμ' ἂν *Steph.*

ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν, ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν Θόλον, προσέταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵνα ἀποθάνοι· οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν. τότε μὴν ἐγὼ, οὐ λόγῳ ἀλλ' ἔργῳ, αὖ ἐνεδειξάμην ὅτι ἐμοὶ μὲν θανάτου μέλει (εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν) οὐδ' ὁτιοῦν· τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργάσασθαι. ἀλλ' ἐπειδὴ ἐκ τῆς Θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα, καὶ ἦγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διαχέων κατελύθη. καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

aut mortis. Et hæc quidem *facta* erant, civitate adhuc ſub regimine populari conſtituta: poſtquam vero in paucorum dominationem delapſa eſt, rurſus triginta illi, *qui rempublicam occuparunt*, me una cum aliis quatuor in Tholum accerſitum juſſerunt Leontem Salaminium e Salamine adducere, quo capitis ille pœnas lueret; qualia quidem multa illi & aliis multis mandabant, quamplurimos criminibus involvere cupientes. Tunc ego, non verbo quidem ſed re ipſa, oſtendi me nihil prorſus (niſi id dictu ruſticius eſſet) mortem curare; hoc vero omnino curare, nequid injuſtum aut impium facerem. Me enim imperium illud quantumvis grave nequaquam ita conterruit, ut injuſtum aliquid facerem. Sed ubi Tholo egreſſi ſumus, iſti quidem quatuor in Salaminem profecti ſunt, & Leontem adduxerunt, ego vero domum abii. Et forſan propterea capite multatus eſſem, niſi brevi poteſtas iſta diſſoluta fuiſſet. Atque horum teſtes vobis erunt permulti.

κα'. Ἆρ' οὖν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ, ἐβοήθουν τοῖς δικαίοις, καὶ, ὥσπερ χρὴ, τοῦτο περὶ πλείστου ἐποιούμην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. Ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου I. 33
δημοσίᾳ τε εἴ που τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον, οὔτε ἄλλῳ, οὔτε τούτων οὐδενί, οὓς δὴ οἱ διαβάλλοντες ἐμὲ φασὶν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἴ δέ τις ἐμοῦ λέγοντος, καὶ τὰ ἑαυτοῦ πράττοντος, ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος, εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. οὐδὲ χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δὲ, οὔ· ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν· καὶ ἐάν τις βούληται, ἀποκρινόμενος ἀκούει ὧν ἂν λέγω. καὶ τούτων

21. An ergo putatis me tot annos victurum fuisse, si ad rempublicam accessissem, bonique viri officio fungens, justitiæ suffragatus essem, atque hoc, ut oportet, maximi fecissem? Permultum certe abest, Athenienses: neque enim alius quisquam hominum *ita se gerens salvus esse posset*. At ego per omnem vitam, & si quid publice egi, talis videbor, & privatim idem ipse, quippe qui nihil unquam cuiquam præter jus & æquum concederem, vel alii, vel horum alicui, quos ii, qui mihi invidiam conflare student, meos affirmant esse discipulos. Ego autem nullius unquam præceptor fui: sed si quis me dicentem, meaque obeuntem munera audire cupiebat, seu juvenis, sive senex, id nulli unquam *concedere* gravabar. Neque vero is ego sum, qui pecuniis acceptis disputem, non acceptis vero taceam; sed pariter diviti atque pauperi interrogandum me præbeo: ac si quis voluerit, mihi quoque respondendo audit ea, quæ dico. Et si quis

ἐγώ, εἴτέ τις χρηστὸς γίγνεται, εἴτε μή, οὐκ ἂν δικαίως τοῦτό αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεδόμην μηδενὶ μηδὲν πώποτε μάθημα, μήτε ἐδίδαξα. εἰ δέ τις φησὶ παρ' ἐμοῦ πώποτε ἢ μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ, τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει.

κβ'. Ἀλλὰ τί δήποτε μετ' ἐμοῦ χαίρουσι τινὲς τὸν πολὺν χρόνον διατρίβοντες, ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι. πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ. ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, διατέτακται ὑπὸ τοῦ θεοῦ διατάττειν, καὶ ἐκ μαντείων καὶ ἐξ ὀνυπνίων καὶ παντὶ τρόπῳ, ὅπερ τις ποτὲ καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προστάξε προστάττειν. ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστι, καὶ εὐεξέλεγκτα. εἰ γὰρ δὴ ἐγὼ τῶν νεωτέρων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρὴν

horum probus evaſerit, vel non, id mihi jure imputari non poteſt; quippe qui nullam unquam eorum alicui doctrinam vel promiſerim vel tradiderim. Quod ſi quis dixerit ſe privatim a me quicquam vel didiciſſe vel audiviſſe, quod & cæteris omnibus *palam* non erat, pro certo habeatis eum vera nequaquam dicere.

22. Sed quam ob cauſam nonnulli longa mecum conſuetudine oblectentur, audiviſtis, Athenienſes. Omnem vobis veritatem dixi, delectari *ſcilicet* homines, cum eos interrogatos audiant, qui ſe, cum non ſint, exiſtimant ſapientes. Hoc enim non injucundum eſt. Ut autem hoc facerem, mihi, ut ego dico, id a deo impoſitum eſt, & ex vaticiniis & ex inſomniis & omni modo, quo aliqua alia ſors divina homini quicquam unquam mandavit agendum. Hæc, Athenienſes, & vera ſunt, & hujuſmodi quæ facile convinci poſſint. Enimvero ſi ego juvenum alios quidem corrumpo, alios vero corrupi, conſenta-

δή πω, εἴτέ τινες αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσ ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν τώποτέ τι συνεβούλευσα, νυνὶ αὐτὸς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθ· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφούς, καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ' ἐμοῦ κακόν τι ἐπεπόνθεσ οἱ οἰκεῖοι αὐτῶν, νῦν μεμνῆσθ καὶ τιμωρεῖσθαι. πάντως δὲ πάρεισι πολλοὶ αὐτῶν ἐνθαυθοῖ, ὡς ἐγὼ ὁρῶ· πρῶτον μέ, Κείτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου τοῦδε πατήρ· ἔπειτα, Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τουτουὶ πατήρ· ἔτι δ' Αντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, Επιγένους πατήρ. ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι, Νικόστρατος ὁ Ζωτίδου, ἀδελφὸς Θεοδότου· (καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτῶν καταδεηθείη) καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε δὲ Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων· καὶ Αἰαντίδωρος, οὗ

neum certe eſſet, ut vel ipſorum aliqui ſeniores facti, ſi quid intelligerent me ipſis olim adoleſcentulis male conſuluiſſe, nunc inſurgerent meque accuſarent ac pœnas depoſcerent: aut ſi ipſi nollent, ut neceſſarii ipſorum aliqui, patres & fratres, & alii cognati, ſi quid mali a me eorum neceſſarii paſſi fuiſſent, commemorarent nunc & pœnas exigerent. Hic autem illorum multi prorſus adſunt, quos video; primum quidem, Crito hic, æqualis & popularis meus, Critobuli iſtius pater; deinde Lyſanias Sphettius, Æſchinis hujuſce pater; præterea Antipho Cephiſienſis hic, pater Epigenis. Atque etiam alii iſti, quorum fratres hac mea conſuetudine uſi ſunt, Nicoſtratus Zotidæ filius, Theodoti frater; (& Theodotus quidem defunctus eſt, ut eum, *ne a me pœnas exigat*, deprecari non poſſit) & Paralus hic filius Demodoci, cujus Theages frater erat; Adimantus quoque filius Ariſtonis, cujus frater eſt iſte Plato; & Æantidorus, cujus

Ἀπολλόδωρος ὁ ἀδελφός. καὶ ἄλλους πολλοὺς ἔγωγ' ἔχω ὑμῖν εἰπεῖν, ὧν τινὰ ἐχρῆν, μάλιστα μὲν αὐτὸν τῷ ἑαυτοῦ λόγῳ, παρέχεσθαι Μέλιτον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νυνὶ παρεχέσθω, (ἐγὼ παραχωρῶ) καὶ λεγέτω, εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου πᾶν τἀναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν, ὡς φασὶ Μέλιτος καὶ Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, πῶς ἄλλον λόγον ἔχουσι βοηθοῦντες ἐμοὶ, ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον· ὅτι ξυνίασι Μελίτῳ μὲ ψευδομένῳ, ἐμοὶ δὲ ἀληθῆ λέγοντι; ἔστιν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν τι ὅδε ταῦτα καὶ ἄλλα ἴσως τοιαῦτα.

κγ'. Τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν, ἀναμνησθεὶς ἑ-

frater eſt Apollodorus. Alios item permultos referre poſſum, quorum aliquem, maxime quidem in oratione ſua, oportuit a Melito teſtem produci: at vero ſi tunc oblitus erat, nunc producat, (ego loco cedam) & dicat, numquid hujuſmodi habet. Sed contra omnino ſe rem habere, viri, comperietis, omnes *nimirum* paratos ad opem mihi ferendam, qui corrupi eorum neceſſarios, iiſque detrimentum attuli, quemadmodum aiunt Melitus atque Anytus. Quod ſi ipſi, qui depravati ſunt, mihi opitularentur, nihil mirum eſſet: at propinqui eorum, jam grandes ætate, quique minime depravati ſunt, qua tandem ratione ad opem mihi ferendam impulſi eſſe poſſunt, niſi recta quadam & juſta; quippe qui & Melitum mentiri, & me vera loqui cognoſcant? Hæc igitur, viri, ita ſint: quæ quidem pro defenſione mea habeo, ferme hæc ſunt, & alia forſan ſimilia.

23. Sed forſan veſtrum aliquis ſui ipſius memor ſuccen-

αυτοῦ· εἰ ὁ μὲν καὶ ἐλάττω τουτουὶ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος δεδέηταί τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὐτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς· ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα, κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' ἂν οὖν τις ταῦτα ἀνιάσας, αὐθαδέστερον ἂν πρός με σχοίη· καὶ ὀργισθεὶς αὐτοῖς τούτοις, θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. εἰ δή τις ὑμῶν ὕπως ἔχει, οὐκ ἀξιῶ μὲν ἔγωγε· εἰ δ' οὖν, ἐπιεικῆ ἂν μοι δοκῶ πρὸς τοῦτον λέγειν, λέγων, Ὅτι ἐμοί, ὦ ἄνδρες, εἰσὶ μέν πού τινες καὶ οἰκεῖοι. καὶ γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων. ὥστε καὶ οἰκεῖοί μοι εἰσὶ, καὶ ὑμεῖς γε, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς· εἷς μέν, μειράκιον ἤδη· δύο δὲ, παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος, δεήσομαι

seat; siquidem leviorum etiam criminum, quam hoc meum est, reus, oraverit obtestatusque fuerit judices cum multis lacrymis, liberosque suos huc produxerit, ut quam maxime misericordiam commoveret, & alios item necessariorum amicorumque permultos; ego autem nihil horum facturus sum, quamvis in ultimum, ut quidem cuipiam videri possim, discrimen adductus. Hæc forsan qui secum reputaverit, ferociorem erga me animum gerat; & his ipsis offensus, cum ira suffragium ferat. Si quis ergo vestrum tali in me animo sit, id quidem minime rectum censeo; sin autem *ita se res habeat*, hæc æqua fore, quibus talem alloquar, mihi videntur, Sunt & mihi, vir optime, cognati quidam. Neque enim ipse, ut inquit Homerus, ex quercu vel saxo, sed ex hominibus natus sum. Itaque & cognatos habeo, Athenienses, & filios tres; quorum unus jam adolescit; duo autem sunt parvuli: nullum tamen eorum huc adducam, supplicaturus, ut

ὑμῶν ἀποψηφίσασθε. τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; ὄκνῳ αὐθαδιαζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων· ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον, ἢ μή, ἄλλος λόγος· πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν, καὶ τηλικόνδε ὄντα, καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς, εἴτ' οὖν ψεῦδος. ἀλλ' οὖν δεδογμένον γέ ἐστι, τὸν Σωκράτη διαφέρειν τινὶ τῶν πολλῶν ἀνθρώπων. εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ, εἴτε ἀνδρείᾳ, εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ, τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη, οἷόνπερ ἐγὼ πολλάκις ἑώρακα τινὰς, ὅταν κείνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια ἢ ἐργαζομένους· ὡς δεινόν τι οἰομένους πείσεσθαι, εἰ ἀποθανοῦνται· ὥσπερ ἀθανάτων ἐσομένων, ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν· ὡς ἄν τινα καὶ τῶν ξέ-

eo pacto me vos absolvatis. Cur igitur nihil horum faciam? Non ex pertinaci superbia, nec in contemptum vestrum, Athenienses: sed utrum forti erga mortem animo sim, an non, alia est quæstio. Ad existimationem vero & mei & vestrum & civitatis universæ honestum mihi minime videtur me istorum quicquam agere, qui & hac sim ætate, & hoc nomen (seu vere quidem, seu falso) sim adeptus. Stabilitum autem jam id est, Socratem re aliqua vulgo hominum antecellere. Si ergo hi, qui inter vos sapientia vel fortitudine vel quavis alia virtute præstare existimantur, tales erunt, quales sæpe quosdam, cum de illis judicaretur, vidi, turpe nimirum erit; qui cum aliquid esse existimarentur, attamen *in judicio* mirum in modum se gerebant; quasi grave aliquid passuri, si ex hac vita decesserint; perinde ac si immortales futuri essent, si vos illos non occideretis: qui mihi videntur talem ignominiæ notam civitati inurere; ut & pe-

νων ὑπολαβεῖν, ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετὴν, ὃς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ τ' ἄλλαις τιμαῖς τοσοῦτον προσκείνησιν, οὗτοι γυναικῶν ὀλίγον διαφέρουσι. ταῦτα δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτε [1] ὑμᾶς χρὴ ποιεῖν τοὺς δικάζοντας καὶ ὁπωστιοῦν εἶναι, ὅτ' ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ὑποτρέπειν· ἀλλὰ τοῦτο αὐτὸ [2] ἐνδείκνυσθε, ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος, καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος, ἢ τὴν ἡσυχίαν ἄγοντος.

κδ'. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιον δοκεῖ εἶναί μοι δεῖσθαι τοῦ δικαστοῦ, οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν. ὁ γὰρ ὑπὲ τούτῳ κάθηται ὁ δικαστὴς, ὑπὲ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ὑπὲ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὐκοῦν χρὴ οὔτε ἡμᾶς ἐθί-

regrinorum aliquis exiſtimare poſſit, eos qui inter Athenienſes virtute præſtant, & quos ii magiſtratu cæteriſque honoribus digniſſimos cenſent, nihil mulieribus præſtare. Hæc autem, Athenienſes, nec nos, qui vel minimum nomen adepti ſumus, facere decet, neque, etiamſi nos ea facere velimus, vos permittere: ſed hoc ipſum oſtendere, vos eum multo magis damnaturos eſſe, qui miſeranda hæc, *quaſi in ſcenam*, ſpectacula proferendo, ridiculam reddiderit civitatem, quam illum, qui quietus *judicium expectaverit*.

24. Jam vero, viri, præter *ea quæ ad civitatis* exiſtimationem *ſpectant*, nec juſtum mihi videtur eſſe judicem precari, neque precando abſolvi; ſed docere atque ſuadere. Non enim ideo ſedet judex, ut præter jus aliquid indulgeat, ſed ut ſecundum id judicet: atque jurejurando promiſit, ſe non, cuicunque libuerit, jus gratia condonaturum, ſed judicaturum ſecundum leges. Minime ergo decet vel nos ad pejeran-

1 Forſan ἡμᾶς 2 Forſ. ἐνδείκνυσθαι *Steph.*

ζειν ὑμᾶς ἐπορκεῖν, οὐδ' ὑμᾶς ἐθίζεσθαι. οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. μὴ δή ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι, μήτε δίκαια, μήτε ὅσια, μάλιστα πάντως νὴ Δία ὦ μὴν τοι καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου τουτουί. σαφῶς γὰρ, εἰ πείθοιμι ὑμᾶς, καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι· καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγορήσιν ἂν ἐμαυτοῦ, ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ὑπερέπω καὶ ᾧ θεῷ κεῖναι πρεὶ ἐμοὶ, ὅπη μέλλῃ ἐμοί τε ἄριστα εἶ) καὶ ὑμῖν. κ κ

κε'. ΤΟ ΜΕΝ οὖν μὴ ἀγωνιστεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ

dum vos aſſuefacere, vel vos aſſuefieri. Neutri enim noſtrum pie ageremus. Nolite ergo, Athenienſes, poſtulare, ut talia apud vos agam, quæ neque honeſta, neque juſta, neque ſancta eſſe puto, maxime vero prorſus per Jovem, cum impietatis a Melito hoc accuſer. Etenim ſi vobis juratis *hoc modo* perſuaderem, & precibus meis *quaſi* vim afferrem, manifeſto docerem vos non putare deos eſſe; ac dum pro me defenſionem paro, me ipſum plane accuſarem, tanquam deos non exiſtimantem. Sed multum abeſt, ut ita ſe res habeat: exiſtimo enim *eſſe deos*, Athenienſes, magis quam quiſquam meorum accuſatorum, ac vobis deoque permitto, ut de me ita ſtatuatis, quemadmodum & mihi & vobiſmet e re maxime futurum ſit.

25. QUO MINUS hoc, quod accidit, Athenienſes, graviter feram, me a vobis eſſe damnatum, & alia multa mihi adjumento ſunt, & *illud imprimis*, *quod* non præter ſpem

γεγονὸς τοῦτο· ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. ὑ γὰ ἐμοὶν ἔγωγε οὕτω πάνυ ὀλίγον ἔσεσθαι, ἀλλὰ πάνυ πολύ. νυνὶ δὲ, ὡς ἔοικεν, εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων, ἀπεπεφεύγειν ἄν. Μέλιτον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφυγα· καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ καὶ πάνυ δῆλον τοῦτό γε, ὅτι εἰ μὴ ἀνέβη Ανυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, καὶν ὤφλε χιλίας δραχμὰς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

κϛ'. Τιμᾶταί δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. εἶεν. ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Αθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτίσαι; ὅτι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧνπερ οἱ πολλοὶ, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν, καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμο-

id accidit: verum multo magis admiror utrorumque calculorum numerum. Siquidem non putabam me tam exiguo *calculorum numero*, ſed perquam magno, *ab abſolutione* abfuturum. Nunc autem, ut videtur, ſi tres ſolum calculi aliter cecidiſſent, evaſiſſem. Melitum quidem, ut arbitror, nunc evaſi; neque evaſi ſolum, ſed & unicuique certe conſtat, niſi Anytus & Lyco ad me accuſandum ſurrexiſſent, illum & mille drachmas fuiſſe perſoluturum, quippe qui partem quintam calculorum non aſſecuturus eſſet.

26. Capitis igitur iſte mihi pœnam ſtatuit. Eſto. Ego vero, Athenienſes, quidnam e contra de me vobis ſtatuendum dicam? Annon id plane, quo dignus ſum? Quid ergo? Quidnam dignus ſum pati aut pendere? quod in vita mea, quæ didici, non ſiluerim, ſed neglexerim quæcunque *multi facit* vulgus, quæſtum, rem familiarem, imperia, conciones publicas, cæteroſque magiſtratus & conju-

σιῶν καὶ ῥάσεων τὰς ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν ὃν ὄντι ἐπιεικέστερον εἶναι, ἢ ὥστε εἰς ταῦτα ἰόντα σώζεσθαι, ἐνταῦθα μὲ οὐκ ἦγεν, οἱ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι· ὅπῃ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὸν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ἦγεν· ὅπιχειρῶν ἕκαστον ὑμῶν πείθειν, μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ὅπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο· μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως· τῶν τε ἄλλων οὕτω χρὴ τὸν αὐτὸν τρόπον ὅπιμελεῖσθαι. τί οὖν εἰμι ἄξιος παθεῖν, τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δή γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθε· καὶ ταῦτά γε, ἀγαθὸν τοιοῦτον ὅ, τι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ὅπῃ τῇ ὑμετέρᾳ παρακελεύσῃ; οὐκ ἔστ' [1]ὅ, τι μᾶλλον, ὦ ἄνδρες Ἀθη-

rationes atque ſeditiones, quæ in republica contigerunt, arbitratus me ipſum revera integriorem eſſe, quam qui, ſi ad hæc me recepiſſem, incolumis eſſem, huc, *inquam*, me non contuli, quo ſi acceſſiſſem, neque vobis neque mihi ipſi profuturus eram; ſed privatim me ad unumquemque veſtrum applicans, ubi maximam, ut ego dico, vobis allaturus eſſem utilitatem, illuc me recepi; unicuique veſtrum ſuadere aggrediens, nihil ex rebus ſuis prius quam ſe ipſum eſſe curandum, ut quam optimus prudentiſſimuſque evadat; nec res civitatis *curandas eſſe* prius quam ipſam civitatem; & aliarum item rerum curam eadem ratione eſſe habendam. Quid igitur, cum ſim talis, a vobis reportare dignus ſum? Bonum quiddam, Athenienſes, ſi modo me pro meritis meis revera æſtimetis; ac tale quidem bonum præſertim, quale mihi conveniat. Quid igitur convenit viro egeno beneficoque, cui vacare *a cæteris occupationibus* expediat, quo vos *ad virtutem* cohortari queat? Nihil certe eſt, Athe-

1 Forſan ὅ, τι, ὦ ἄνδρες.

ναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν Πρυτανείῳ σιτεῖσθαι· πολύ γε μᾶλλον ἢ εἴτις ὑμῶν ἵππῳ ἢ ζευγεῖ ἢ ζεύγει νενίκηκεν Ολυμπάσιν. ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ, εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τότε τιμῶμαι, τῆς ἐν Πρυτανείῳ σιτήσεως.

κζ. Ἴσως οὖν ὑμῖν, καὶ ταυτὶ λέγων, παραπλησίως δοκῶ λέγειν, ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιζόμενος. τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Αθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. πέπεισμαι ἐγὼ ἐκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώπων· ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω. ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα. ἐπεὶ, ὡς ἐγῷμαι, εἰ ἦν ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου μὴ μίαν μόνον ἡμέραν κρίνειν, ἀλλὰ πολλάς,

nienſes, quod tali viro æque convenit, ac ut in Prytaneo *publico ſumptu* alatur; *atque id* quidem multo magis quam ſi quis veſtrum equo aut bigis aut quadrigis victoriam in ludis Olympicis reportaſſet. Nam ille quidem *ſolum* efficit, ut felices videamini, ego vero, ut ſitis: & ille, quo alatur, non indiget, ego autem indigeo. Si itaque me, quid meritis meis optime reſpondeat, dicere oportet, ego me hoc dignum exiſtimo, alimento *publice* in Prytaneo *mihi exhibendo*.

27. Fortaſſe ergo vobis, & hæc dicendo, ſimilia quædam dicere videor iis, quæ ſuperius de commiſeratione & obteſtatione locutus ſum, arrogantius *nimirum* me gerens. Id autem haud tale eſt, ſed hujuſmodi potius, Athenienſes. Perſuaſum eſt mihi, ut nemini ſponte injuriam faciam: hujuſce autem apud vos minime fidem facio. Exiguo enim tempore una mutuo collocuti ſumus. Alioqui ſi lex *talis* apud vos eſſet, qualis apud alios, ut, ubi mors pœna ſit, in eo judicio non diem unam, ſed plures diſce-

ἐπείσθητε ἄν· νῦν δὲ ὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. πεπεισμένος δ' ἐγὼ μηδένα ἀδικεῖν, πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν, καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτὸς, ὡς ἄξιός εἰμι ὑ κακοῦ, καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί δείσας; ἢ μὴ πάθω τοῦτο, ὃ Μέλιτός μοι τιμᾶται· (ὃ φημι ὐκ εἰδέναι, οὔτ' εἰ ἀγαθὸν, ὅτ' εἰ κακόν ἐστιν) ἀντὶ τούτου δὴ ἑλωμαί τι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων, τοῦτο τιμησάμενος; πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, δουλεύοντα τῇ αἰεὶ καθισταμένῃ ἀρχῇ, τοῖς ἑνδεκα; ἀλλὰ χρημάτων, καὶ δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ ταυτόν μοι ἐστὶν ὅπερ δὴ νῦν ἔλεγον. ὐ γάρ ἐστί μοι χρήματα ὁπόθεν ἐκτίσω. ἀλλὰ δὴ φυγῆς τιμήσομαι; ἴσως γὰρ ἄν μοι τοῦτο τιμήσαιτε. πολλὴ μέν τ' ἄν με φιλοψυχία ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δυνάσθαι λογίζεσθαι ὅτι ὑμεῖς μέν, ὄντες τοιοῦ-

ptetur, vobis, ut arbitror, perſuaſiſſem: nunc vero haud facile fuit in tam brevi tempore calumnias magnas diluere. Cum autem mihi perſuaſum ſit nemini faciendam eſſe injuriam, multum abeſt ut mihi quidem ipſi ſim facturus, & ipſe contra me ipſum pronunciem, me malo dignum eſſe, judicemque me ipſum hujuſmodi quippiam mereri. Quid veritus? an ne id ſubeam, quo Melitus me dignum cenſet; (quod quidem aio neſcire me, utrum bonum ſit, an malum) ut, *inquam*, hoc devitem, eligam ergo eorum aliquid, quæ plane mala eſſe ſcio, atque hoc me dignum eſſe cenſebo? Utrum vinculis? Quid autem attinet me in carcere vitam agere, perpetuo undecim virorum imperio ſervientem? At mulctæ pecuniariæ, atque donec ſoluta ſit, in vinculis permanere? Id vero tantundem eſt, ac quod ſupra dicebam. Nam mihi deeſt unde pecunias perſolvam. Exilione igitur me dignam cenſeam? Huic enim me forſan addicere velitis. Magna certe, Athenienſes, me vitæ cupiditas teneret, ſi adeo imprudens eſſem, ut non valerem perſpicere vos quidem ci-

ταῖς μὲν, οὐχ οἷοί τε ἐγένεσθε ἀνέχειν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς λόγους· ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐπιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγήναι· ἄλλοι δὲ ἆρα αὐτὰς οἴσουσι ῥᾳδίως; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη, ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ, ἄλλην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ, καὶ ἐξελαυνομένῳ ζῆν. εὖ γὰρ οἶδ' ὅτι, ὅπῃ ἂν ἔλθω, λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι, ὥσπερ ἐνθάδε. καὶ ἂν μὲ τούτοις ἀπελαύνω, οὗτοί με αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι, δι' αὐτοὺς τούτους.

κη'. Ἴσως οὖν ἄν τις εἴποι, Σιγῶν τε καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσῃ ἡμῖν ἐξελθὼν ζῆν; Τοῦτο δή ἐστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. ἐάν τε γὰρ λέγω, ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἐστὶ, καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι, ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖθις λέγω,

ves meos disputationes meas sermonesque perferre non potuisse; sed usque adeo graves eos invidiososque vobis extitisse, ut nunc ab iis liberari quæratis: aliine ergo eos facile toleraturi sunt? Multum sane abest, Athenienses. Præclare ergo mihi vita institueretur, si hac ætate *urbe* egressus, ultro citroque alias civitates oberrans, & *undique vicissim* expulsus viverem. Etenim plane scio, quocunque proficiscar, audituros me, sicut hic, adolescentes: ac si eos repellam, ipsi senioribus id persuadentes, me abigent; si non repellam, eorum patres & cognati horum ipsorum gratia *id agent*.

28. Forsitan vero aliquis dixerit, Nonne potes, Socrates, hinc exulans silentio & otio vitam agere? Hoc quidem *fieri non posse* prorsus difficillimum est aliquibus vestrum persuadere. Sive enim dico, illud esse deo refragari, ideoque me non posse quiescere, non credetis mihi, tanquam ludenti: sive & illud dico,

ὅτι ἡ τυχάνῃ μέγιστον ἀγαθὸν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι, καὶ τ' ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ ἀκούετε διαλεγομένου, καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος, (ὁ δὲ ἀνεξέταστος βίος, οὐ βιωτὸς ἀνθρώπῳ) ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. τὰ δὲ ἔχει μὲν ὅπως, ὡς ἐγὼ φημι, ὦ ἄνδρες, πεῖσαι δὲ οὐ ῥᾴδιον. καὶ ἐγὼ ἅμα οὐκ εἰθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων, ὅσα ἔμελλον ἐκτίσειν· οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν γὰρ οὐκ ἔστιν· εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτίσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. ἴσως δ' ἂν δυναίμην ἐκτίσαι ὑμῖν που μνᾶν ἀργυρίου. τοσούτου οὖν τιμῶμαι. Πλάτων γὰρ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. τιμῶμαι οὖν τοσούτου. ἐγγυηταὶ δ' ὑμῖν ἔσονται οὗτοι ἀξιόχρεω ἀργυρίου.

hoc homini maximum contingere bonum, quotidie de virtute verba facere, & de aliis, de quibus me disputantem, meque & alios interrogantem, audivistis, (vita autem ea, quæ nullo examine exploratur, non est homini vitalis) mihi hæc, *inquam*, dicenti etiam minus credetis. Hæc vero, Athenienses, ita, ut dico, se habent, sed vobis haud facile persuaderi possunt. Et simul nullo me unquam malo dignum censere consuevi. Quod si mihi essent pecuniæ, *tantæ* memet mulctæ addicerem, quantam solvendo essem: id enim mihi detrimento nequaquam foret: nunc vero mihi non adsunt; nisi forte quantam valeo solvere, tantam *solummodo* mihi mulctam imponere velitis. Fortasse autem vobis possem persolvere minam argenti. Tantæ igitur mulctæ me addico. Plato autem hic, Athenienses, & Crito, & Critobulus, & Apollodorus jubent me triginta minarum mulctam mihi irrogare; ii vero *pecuniæ* prædes erunt. Tantam itaque mulctam mihi irrogo. Hi vero argenti vobis prædes erunt idonei.

κθ'. ΟΥ ΠΟΛΛΟΥ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτην ἀπεκτονήκατε, ἄνδρα σοφόν. φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μὴ εἰμί, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο, ἐμὲ τεθνάναι δή. ὁρᾶτε γὰρ δὴ εἰς τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω ἢ τᾶτο ὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς αὖ αὐτοὺς τούτους. ἴσως με οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων, οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾠμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν, ὥστε ἀποφυγεῖν τὴν δίκην. πολλοῦ γε δεῖ. ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας, καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἷα ὑμῖν μὲν ἥδιστ' ἂν ἦν ἀκούειν·

29. JAM VERO, Athenienſes, propter non longum temporis ſpatium apud eos, qui civitatem vituperare ſtudeant, nomen hoc crimenque ſubibitis, vos *nimirum* interfeciſſe Socratem, virum ſapientem. Me enim ſapientem, licet minime ſim, dicent illi, qui vos vituperare voluerint. Certe, ſi vel breve tempus expectaviſſetis, id ſponte ſua vobis contigiſſet, ut ego morerer. Videte enim ætatem meam, quantum jam in vitæ *curriculo* provecta ſit, & quam prope ad mortem *accedat*. Neque vero hæc vobis omnibus dico, ſed iis *tantum*, qui me morte damnarunt. Dico autem etiam hoc his ipſis, Forſan putatis me, Athenienſes, in judicio cecidiſſe talium verborum inopia, quibus utique perſuaſiſſem vobis, ſi omnia facienda dicendaque putaviſſem, quibus ſupplicium evitarem. Permultum certe abeſt. At ob inopiam quidem damnatus ſum, non verborum tamen, ſed audaciæ atque impudentiæ, & quia talia apud vos dicere nolui, qualia vobis quidem auditu gratiſſima eſſent; *ſi vide-*

θρηνουῶτός μου καὶ ὀδυρομένου, καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ, καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τὰ ἄλλων ἀκούειν. Ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι ὁτιοῦν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ· ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι, ἢ ἐκείνως ζῆν. οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτε ἐμὲ οὔτε ἄλλον ὁτιοῦν δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ῥᾴον ἄν τις ἐκφύγοι, καὶ ὅπλα ἀφεὶς, καὶ ἐφ' ἱκετείαν τραπεὶς τῶν διωκόντων. καὶ ἄλλαι πολλαὶ μηχαναί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε ἀποφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μή θ' τοῦτ' ἦ χαλεπὸν, ὦ ἄνδρες Ἀθηναῖοι, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον, πονηρίαν. θᾶττον γὰρ θανάτου θεῖ. καὶ νῦν ἐγὼ

licet me deflentem atque lamentantem, & alia multa facientem atque dicentem *audivisſetis*, me, ut ego dico, indigna; qualia tamen ab aliis ſane audire conſueviſtis. Sed neque tunc cenſui decere ad periculum devitandum illiberale aliquid facere, neque nunc me, quod hac defenſionis ratione uſus ſim, pœnitet: quin mori longe malo, defenſione hunc in modum inſtituta, quam illo modo vivere. Neque enim in judicio neque in bello vel me vel alterum quemvis hoc moliri decet, ut mortem omnino quoquo modo effugiat. Nam & in prœliis ſæpe conſtat interitum facile vitari poſſe, ſi quis, abjectis armis, ſupplex ad inſequentes ſe convertat. Aliæ quoque multæ in ſingulis periculis artes ſunt, quibus interitum quis effugiat, ſi quem non pudeat quidvis facere & dicere. At *videndum*, Athenienſes, ne id quidem haud difficile ſit, mortem effugere, ſed multo difficilius, improbitatem. Morte enim velocius currit. Atque ego

μὲν, ἅτε βραδὺς ὢν καὶ πρεσβύτης, ὑπὸ τοῦ βραδυτέρου ἑάλων· οἱ δέ μου κατήγοροι, ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες, ὑπὸ τοῦ θάττονος, τῆς κακίας. καὶ νυῦν δὴ ἐγὼ μὲν ἄπειμι, ὑφ' ὑμῶν θανάτου δίκην ὄφλων· οὗτοι δὲ, ὑπὸ τῆς ἀληθείας ὀφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἔγωγε τῷ τιμήματι ἐμμένω, καὶ οὗτοι. ταῦτα μὲν οἴῳ που ἴσως οὕτω καὶ ἔδει ἔχειν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

λεύοι· καὶ πάσχειν ἐάν τι φερσάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ δίκαιον οὕτως ἔχει· καὶ οὐκ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν· ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύοι ἡ πόλις τε καὶ ἡ πατρίς· ἢ πείθειν αὐτὴν ᾗ ὂ δίκαιον πέφυκε· βιάζεσθαι δὲ οὐκ ὅσιον μητέρα, οὔτε πατέρα, πολὺ δὴ τούτων ἔτι ἧττον τὴν πατρίδα; τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους, ἢ οὔ; ΚΡ. Ἐμοιγε δοκεῖ.

247.

ιγ'. ΣΩΚ. Σκόπει τοίνυν, ὦ Σώκρατες, (φαῖεν ἂν ἴσως οἱ νόμοι) εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν, ἃ ἐπιχειρεῖς. ἡμεῖς γάρ σε ἐγεννήσαμεν, ἐξεθρέψαμεν, παιδεύσαμεν, μεταδόντες ἁπάντων, ὧν οἷοί τε ἦμεν, καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις, ὅμως προαγορεύο-

dum; & patienter ſuſtinendum ſi quid pati juſſerit, ſive verberari te *oportuerit*, ſive in vincula conjici, ſive in bellum miſerit ad vulnera excipienda mortemve ſubeundam, hæc *ſcilicet* facienda, & æquum juſtumque ita poſtulare; & neque declinandum, neque recedendum, nec ordinem deſerendum; ſed & in bello & in judicio & prorſus ubique ea, quæ civitas patriaque juſſerit, facienda eſſe; aut illi, quo pacto juſtum ſeſe habet, monſtrandum; vim autem neque matri nec patri inferre fas eſſe, & multo etiam minus patriæ? Quidnam ad hæc dicemus, Crito? verane dicere leges, an non? CR. Mihi quidem videntur.

13. SOC. Conſidera ergo, Socrates, (dixerint fortaſſe leges,) utrum nos hæc recte ſtatuamus, te ea, quæ nunc aggrederis, injuſte contra nos aggredi. Nos enim, quæ te genuimus, educavimus, inſtituimus, atque omnia, quæ potuimus, & tibi & cæteris civibus bona tribuimus, cuilibet tamen

μεν, τῆ ἐξουσίαν πεποιημένην Ἀθηναίων τῆ βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ, ἀπιέναι ὅπη ἂν βούληται. καὶ οὐδεὶς ἡμῖν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ἡμῶν εἰς ἀποικίαν ἰέναι, (εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις) ἐάν τε μετοικεῖν ἄλλοσέ πη ἐλθὼν, ἰέναι ἐκεῖσε, ὅπη ἂν βούληται, ἔχων τὰ αὑτοῦ. ὃς δ' ἂν ἡμῖν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἄλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὁμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα. καὶ τὸν μὴ πειθόμενον, τριχῆ φαμὲν ἀδικεῖν· ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τρέφουσι· καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· παρακελευόντων ἡμῶν, καὶ οὐκ ἀγρίως

Athenienſium poteſtatem faciendo, *quaſi* denunciamus, ſi cui, poſtquam civitatis ſtatum noſque leges exploraverit & perſpexerit, minus placeamus, illi, rebus ſuis collectis, quocunque voluerit, abire licere. Nec ulla e nobis legibus impedit aut prohibet, ſive quis veſtrum, cui nos civitaſque minime placeamus, in coloniam aliquam velit diſcedere, ſive in alium quemvis locum commigrare, quo minus illuc, quocunque velit, abeat, ſecumque ſua transferat. At vero quicunque veſtrum, poſtquam cognoverit qua ratione nos judicia exercemus, & in cæteris rebus civitatem regimus, permanſerit, hunc jam dicimus re ipſa conveniſſe nobiſcum, ſe, quæcunque juſſerimus, facturum. Et eum, qui non paruerit, trifariam injuriam facere affirmamus; & quod genitricibus nobis non obtemperat, & quod nutricibus; & quod pollicitus ſe nobis obtemperaturum, neque obtemperat, neque nobis perſuadet, ſi quid minus recte agimus; cum nos quæ vo-

ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς, ἢ ποιεῖν· τούτων ὁπότερα ποιεῖ.

ιδ'. Ταύταις δὴ φαμὲν καί σε, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ὑπονοεῖς· καὶ οὐκ ἤκιστα Ἀθηναίων σε, ἀλλ' ἐν τοῖς μάλιστα. Εἰ οὖν ἐγὼ εἴποιμι, διὰ τί δὴ, ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτῃ τῇ ὁμολογίᾳ. φαῖεν γὰρ ἄν, Ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήρια ἔστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις. οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε. καὶ οὔτ' ὀπὴ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατεύσοιο· οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι· οὐδ' ἐπιθυμία σε ἄλλης

248.

lumus *ſolummodo* proponamus, neque ferociter imperemus, ſed permittamus alterum e duobus, aut perſuadere nobis, aut *mandata noſtra* explere; horum *tamen* neutrum facit.

14. His ergo criminibus & te, Socrates, obnoxium fore dicimus, ſi quæ cogitas præſtiteris; neque *id quidem* minus quam cæteros Athenienſes, ſed maxime ferme omnium. Si ergo rogarem, quamobrem *præ cæteris ſim obnoxius*, fortaſſe juſte me remorderent, dicentes, me præ cæteris Athenienſibus hoc iis pollicitum fuiſſe. Sic enim dicerent, Magna nobis, Socrates, harum rerum ſunt argumenta, tibi nos civitatemque placuiſſe. Nequaquam enim maxime omnium Athenienſium eam habitaſſes, niſi tibi præ cæteris maxime placuiſſet. Neque enim ad ſpectacula publica urbe unquam egreſſus es, niſi ſemel in Iſthmum, nec alio uſquam, niſi in militiam; neque aliam ſuſcepiſti peregrinationem unquam, quemadmodum cæteri *ſolent*; neque alterius civitatis viſen-

πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι· ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ἤρου, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι. τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξὸν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. σὺ δὲ τότε μὲ ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν εἰ δέοι τεθνάναι σε· ἀλλ' ἤρου, ὡς ἔφησθα, περὶ θ φυγῆς θάνατον. νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνῃ, οὔτε ἡμῶν τοὺς νόμους ἐντρέπῃ, ἐπιχειρῶν διαφθεῖραι· σφόδρα τε ἄπερ ἂν δοῦλος ὁ φαυλότατος σφάξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν πρὸ τοὺς ξυνθήκας τε καὶ τοὺς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύσεσθαι. σκῶπτον δῆτα ἡμῖν τοῦτο αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς, ἔργῳ, ἀλλ' οὐ λόγῳ· ἢ οὐκ ἀληθῆ. τί φῶμεν πρὸς ταῦ-

dæ te cepit cupido, aliarumve legum cognoſcendarum: ſed nos noſtramque civitatem tibi ſatis habuiſti: uſque adeo vehementer probaſti nos, & te ex noſtris præſcriptis victurum fore conſenſiſti. Præterea & filios in hac civitate procreaſti, utpote quæ tibi placeret. Quinetiam licebat tibi in ipſo judicio exilio multari, ſi voluiſſes, & quod nunc invita civitate aggrederis, tunc ea volente facere. Tu vero tunc te ipſum efferebas, quaſi minime indignaturus, ſi mori te oporteret; at mortem, ut dicebas, potius quam exilium eligebas. Nunc vero nec verba illa tua erubeſcis, neque nos leges vereris, ſed nobis interitum machinaris: agiſque, quod nequiſſimus quivis ſervus ageret, effugere tentans, contra pacta conventaque, ex quorum præſcriptis te in republica verſaturum nobiſcum conſenſiſti. Primum igitur hoc ipſum reſponde nobis, num vera dicamus, cum affirmemus te, non verbis, ſed re ipſa, pollicitum eſſe, te ex noſtris præſcriptis in republica victurum fore; an non hæc vere *dicamus*. Quid ad hæc, Cri-

τα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες. ΣΩΚ. Ἄλλο τι οὖν, φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτὸς καὶ ὁμολογίας παραβαίνεις· οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθείς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι· ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἦν σοι ἀπιέναι, εἰ μὴ ἤρεσκόμεν ἡμεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι; [1] σύ τε οὔτε Λακεδαίμονα προῄρησαι, οὔτε Κρήτην, 249
ἃς δὴ ἑκάστοτε φὴς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὔτε τῶν βαρβάρων· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι. οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς, ἃ νόμοι δηλονότι. τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις· ἐμμενεῖς δέ, ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ, ἐκ τῆς πόλεως ἐξελθών.

to, dicendum? an non confitendum? CR. Neceſſe eſt, Socrates. SOC. Nonne igitur, dixerint, conventa nobiſcum & pacta violas; quæ neque coactus nobiſcum iniviſti, neque deceptus, neque in brevi temporis ſpatio deliberare compulſus; ſed annis ſeptuaginta, in quibus tibi licuit abire, niſi nos placuiſſemus, conventaque juſta tibi viſa fuiſſent? Tu vero nec Lacedæmona neque Cretam antepoſuiſti, quas quidem ipſe bene conſtitutas eſſe aſſidue prædicas, neque aliam ullam vel Græcarum civitatum vel barbararum: at ex hac rarius peregrinatus es quam claudi & cæci mancique alii. Adeo tibi præ cæteris Athenienſibus civitas placuit, atque nos, videlicet leges. Cui enim placere poteſt civitas ſine legibus? Nunc vero conventis minime ſtas: ſtabis autem ſi nobis fidem adhibeas, Socrates; neque te ridiculum reddes ex hac civitate egrediendo.

1 Forſ. σὺ δὲ *Steph.*

ιε'. Σκόπει γὰρ δή, ταῦτα ταῦτα ἐὰν ἁμαρτάνῃ τούτων, τί ἀγαθὸν ἐργάσῃ σαυτὸν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. ὅτι μὲν γὰρ κινδυνεύσουσι γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. αὐτὸς δὲ σκοπῶν μὲν ἐὰν εἰς τὴν ἐγγύτατά τινα πόλεως ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε, (εὐνομοῦνται γὰρ ἀμφότεραι) πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τῶν πολιτείᾳ. καὶ ὅσοιπερ κήδονται) τῶν αὐτῶν πόλεων ὑποβλέψονταί σε, ὡς διαφθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι. ὅστις γὰρ νόμων διαφθορός ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις καὶ τοὺς ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιον [1]ἔστι σοι ζῆν; ἢ πολλοῦ

15. Vide etenim, si hæc violaveris, & quid hujusmodi peccaveris, quodnam tibi aut necessariis tuis, bonum parabis. Nam in periculo necessarios tuos fore, ne ipsi quoque in exilium expellantur priventurque civitate, aut facultatibus spolientur, quodammodo certum est. Tu autem ipse si in civitatum proximarum aliquam te contuleris, vel Thebas, vel Megaras, (utræque enim bene constitutæ sunt) primum quidem hostis regimini illarum accedes. Et omnes, [illegible] quæ est patria, te inspe[illegible] habebunt, corruptorem legum existimantes: & tuam judicibus opinionem confirmabis; ut recte *contra te* sententiam tulisse videantur. Quisquis enim legum corruptor est, is quam maxime juvenum & imperitorum hominum videatur esse corruptor. Utrum ergo civitates bene constitutas, & modestissimos quosque homines devitabis? & si id feceris, vitane te digna erit? an forte

1 Forsan ἔσται *Steph.*

σεις τούτοις, καὶ ἀναισχυντήσεις ἀκαλεγόμενος πινὰς λόγους, ὦ Σώκρατες, ἢ ὅσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ σὺ οὐκ οἴει ἄχημον φανεῖσθαι ὃ δὴ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ' ἴσως μὲν τούτων τῶν πόλεων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν πρὸς τοὺς ξένους δὴ Κρίτωνος. ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία· καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν ὡς γελοίως ἐκ δεσμωτηρίου ἀποδιδρασκοντος ἀπεδύσασθε, σκευήν τινα περιθέμενος, ἢ διφθέραν λαβών, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδρασκοντες, καὶ τὸ σχῆμα ὃ σαυτοῦ μεταλλάξας. ὅτι δὲ γέρων ἀνὴρ, σμικρῷ χρόνῳ τῷ βίῳ πάντως ὄντος, ὡς ὃ εἰκὸς, ἐτόλμησας οὕτω γλίσχρως ὀπτυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβὰς, ἀδεὴς ὁς ἐρᾷς; ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος δὴ πάντας ἀνθρώπους βιώσῃ, καὶ δουλεύων. τί ποιῶν; ἢ

eos adibis, nec erubeſces verba, Socrates, facere, quæ hic *conſueviſti*, virtutem *videlicet* & juſtitiam legeſque & earum inſtituta hominibus maximi eſſe facienda? neque putas fore, ut Socratis factum indecorum videatur? Exiſtimandum ſane. At vero ex hiſce civitatibus emigrabis, in Theſſaliam vero ad Critonis hoſpites abibis. Illic enim maxima licentia eſt & petulantia. Ac forſan libenter illi te audient *narrantem*, quam ridicule e carcere aufugeris, *nova* quadam veſte involutus, aut pellem vel alia quævis induens, qualia homines fugitivi ſolent induere, tuamque ſpeciem mentitus. Te vero ſenem, cui vitæ parum, ut veriſimile fuit, ſupererat, auſum eſſe ita pertinaci vivendi deſiderio teneri, legeſque maximas violare, nemone tibi objiciet? *Nemo quidem* fortaſſe, ſi modo neminem offenderis: alioquin multa, Socrates, atque te ipſo indigna audies. Vives autem obnoxius cunctis hominibus, atque ſerviens. Quid vero facies? Con-

εὐωχούμενος ἐν Θετταλίᾳ; ὥσπερ ἐπὶ δεῖπνον, ἀποδεδημηκὼς εἰς Θετταλίαν. λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς ποῦ ἡμῖν ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς. τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι, σοῦ ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται, μὴ ξυόντος σοῦ αὐτοῖς; εἰ γὰρ ἐπιτήδειοι εἰσί σοι ἐπιμελήσονται αὐτῶν. πότερον ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται· ἐὰν δὲ εἰς ᾅδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστι, τῶν σοὶ φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή.

ιϛ'. Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μηδὲν, πρὸ τοῦ δικαίου· ἵνα εἰς ᾅδου

viviane in Theſſalia celebrabis? utpote qui in Theſſaliam, tanquam ad cœnam aliquam, profectus fueris. Diſputationes vero illæ de juſtitia cæteriſque virtutibus ubinam nobis erunt? At quidem filiorum gratia vivere cupis, ut nutrias eos atque inſtituas. Quid vero? an in Theſſaliam eos perduces, ut illic nutrias eos atque inſtituas, peregrinos eos efficiens, ut & hoc quoque abs te reportent? an hoc quidem non *facies*; ſed ſi hic educentur, te ſuperſtite, melius educabuntur & inſtituentur, te *licet* cum illis non verſante? Tui enim neceſſarii illorum curam gerent. Utrum ſi in Theſſaliam quidem profectus fueris, eos curabunt; ſin autem ad inferos profectus fueris, non curabunt? Certe ſi quid adjumenti eſt in iis, qui ſe tuos neceſſarios eſſe dictitant, credendum eſt *curaturos*.

16. At, Socrates, fidem nobis habens nutricibus tuis, neque filios, neque vitam, neque aliud quicquam pluris facias, quam juſtitiam; ut, cum ad in-

ἐλθών, ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. οὔτε γὰρ ἂν ἅδε σοι φαίνεται τοῦτο πρᾶττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπῃ, (ἐὰν ἀπίῃς) οὐχ ὑφ' ἡμῶν τῶν νόμων, ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς, οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀνθικακουργήσας, τὰς σαυτῷ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς πολλὰς, καὶ κακὰ ἐργασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς· ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ, οἱ ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται· εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς.

ιζ'. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες τοῦ αὐλοῦ δοκοῦ-

257.

feros perveneris, hæc omnia apud eos, qui illic præsunt, pro te afferre possis. Neque enim, si hæc feceris, in hac vita tibi vel tuorum alicui melius fore videtur, aut justius aut sanctius; neque tibi illuc profecto melius erit. Verum nunc quidem injuriam passus abis, (si abeas) non a nobis quidem legibus, sed ab hominibus: quod si hinc aufugeris, injuriasque & mala adeo turpiter retuleris, promissaque tua & pacta nobiscum inita violaveris, atque eos, quos minime oportebat, læseris, teipsum *scilicet* & amicos & patriam noſque *leges*; & nos viventi tibi infensæ erimus, & illic germanæ nostræ, leges quæ apud inferos sunt, haudquaquam benigne te excipient; cum te nos pro viribus dispердere conatum fuisse intellexerint. Quamobrem ne tibi Crito, ut quæ monet suscipias, persuadeat, potius quam nos, *ut ab iis desistas*.

17. Hæc, dulcis amice Crito, certo scias me audire videri, quemadmodum Idææ Matris

σιν ἀκούειν. καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τῶν τ λόγων βομβεῖ, καὶ τοιεῖ μὴ δύνασθαι τ ἄλλων ἀκούειν. Ἀλλὰ ἴσθι, ὅσά γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς πρὸς ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι εἴ τι οἴῃ πλέον ποιήσειν, λέγε. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. ΣΩΚ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

œstro percussi tibias. Atque in me sermonum horum sonitus reboat, efficitque ut alios audire non possim. Scias ergo, quantum mihi nunc videtur, si quid præter hæc dicas, te frustra dicturum. Veruntamen si quid te profecturum credis, dicas. CR. Ego vero, quod dicam, Socrates, nihil habeo. SOC. Desine ergo, Crito, & hac cursum dirigamus, quandoquidem hac nos deus ducit.

ΠΛΑΤΩΝΟΣ
ΦΑΙΔΩΝ,
Η ΠΕΡΙ
ΨΥΧΗΣ.

ΕΧΕΚΡΑΤΗΣ, ΦΑΙΔΩΝ.

ΑΥΤΟΣ, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας; ΦΑΙΔ. Αὐτὸς, ὦ Ἐχέκρατες. ΕΧ. Τί οὖν δὴ ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἀκούσαιμι. καὶ γὰρ οὔτε τῶν πολιτῶν Φλιασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τανῦν Ἀθήναζε, οὔ-

PLATONIS
PHÆDON,
SIVE DE
ANIMO.

ECHECRATES, PHÆDON.

TUNE ipse, Phædon, aderas Socrati die illo, quo venenum bibit in carcere, an ab alio aliquo id audivisti? PHÆD. Ipse, Echecrates, *aderam*. ECH. Quænam igitur sunt ea, quæ ille antequam moreretur, locutus est? Et quomodo decessit? Libenter enim audirem. Nam neque civium Phliasiorum quisquam crebro nunc Athenas commeat, ne-

τέ τις ξένος ἀφῖκ᾽ ἀφ᾽ ἡμῶν σαφές τι ἀγγελῶν οἵός τ᾽ ἦν περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθνήσκει· τἄλλα δὲ ἄλλων οὐδὲν εἶχε φράζειν. ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθεσθε ὅν τρόπον ἐγένετο; ΕΧ. Ναί. ταῦτα μέν ἡμῖν ἤγγελλέ τις· καὶ ἐθαυμάζομέν γε ὅτι, πάλαι γεγομένης αὐτῆς, πολλῷ ὕστερον φαίνεται ἀποθνῄσκων. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων; ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, συνέβη. ἔτυχε γὰρ τῇ πρεσπεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσι κατ᾽ ἔτος. ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστι; ΦΑΙΔ. Τοῦτο ἐστὶ τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεὺς ποτὲ εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ᾤχετο ἄγων, καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ᾽ ἐνιαυ-

que hoſpes aliquis inde *ad nos* jamdudum acceſſit, qui certi aliquid de rebus hiſce nobis poſſet nunciare, præterquam quod ille hauſto veneno e vita migraverat: de cæteris vero nihil, quod referret, habebat. PHÆD. Nec ergo quæ ad judicium ſpectabant, quo pacto tranſacta fuerint, audiviſtis? ECH. Imo. Hæc nobis quidam retulit: & mirati profecto ſumus quod, illo jampridem peracto, non niſi multo poſt tempore abiiſſe videatur. Quid ergo, Phædon, in cauſa erat? PHÆD. Caſus aliquis, Echecrates, illi contigit. Accidit enim, ut pridie quam judicaretur, coronaretur puppis navis ejus, quam Delum quotannis mittunt Athenienſes. ECH. Id vero quidnam ſibi vult? PHÆD. Hæc eſt illa navis, ut aiunt Athenienſes, in qua Theſeus olim bis ſeptem illos ſecum vexit in Cretam, eoſque & ſe ipſum ſervavit. Voverant itaque tunc, ut fertur, Apollini, ſe, ſi ſervarentur, pompam ſolennem Delum deducturos: quam quidem ſemper ex illo *tempore*, atque etiam nunc ſingulis annis

τὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν δὲ ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν, καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλον ἀφίκηται τὸ πλοῖον, καὶ πάλιν ἔλθῃ. τοῦτο δ' ἐνίοτε μὲν πολλῷ χρόνῳ γίνεται, ὅταν τύχωσιν οἱ ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ δ' ἐστὶ τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου. τοῦτο δ' ἔτυχεν, ὥσπερ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. Διὰ ταῦτα καὶ ὁ πολὺς χρόνος ἐγένετο ᾧ Σωκράτης ἐν τῷ δεσμωτηρίῳ, ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

β'. ΕΧ. Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα; καὶ τίνες οἱ παραγενόμενοι τῶν ἑταιρείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων; ΦΑΙΔ. Οὐδαμῶς· ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε. ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τις

ad deum mittunt. Cum igitur pompam *apparare* inceperint, lege cautum est illis, ut urbs interea lustretur, & nemo ex decreto publico interficiatur, donec Delum pervenerit navis, rursusque huc *redierit*. Hoc autem longum nonnunquam occupat temporis spatium, cum venti eos intercluserint. Initium vero pompæ istius fit, postquam Apollinis sacerdos navis puppim coronaverit. Id autem, ut dicebam, pridie quam judicaretur *Socrates*, factum erat. Hac de causa etiam longum illud tempus inter judicium & mortem ei in carcere interceſſerat.

2. ECH. Quid vero circa mortem ipsam, Phædon, contigit? quænam *ab eo* dicta erant, quæ facta? & quinam familiarium ejus ipsi aderant? An magistratus adesse non permittebant, atque ita amicorum *præsentia* destitutus decessit? PHÆD. Nequaquam: aderant etenim aliqui, & quidem multi. ECH. Hæc igitur omnia enitere quam planissime nobis referre, nisi quid

σοὶ ἀσχολία τυγχάνει οὖσα. ΦΑΙΔ. Ἀλλὰ σχολάζω τε καὶ πειράσομαι ὑμῖν διηγήσασθαι. καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους, καὶ αὐτὸν λέγοντα, καὶ ἄλλου ἀκούοντα, ἔμοιγε ἀεὶ πάντων ἥδιστον. ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἔχεις. ἀλλὰ πειρῶ ὡς ἂν δυνῇ ἀκριβέστατα διελθεῖν πάντα. ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος. οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει. εὐδαίμων γάρ μοι ὁ ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα· ὥστέ μοι πεῖσεσθαι ἐκεῖνον μηδ' εἰς ᾅδου ἰόντα, ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ κἀκεῖσε ἀφικόμενον εὖ πράξειν, εἴπέρ τις πώποτε καὶ ἄλλος. ἀμφὶ δὴ ταῦτα οὐδέν πάνυ μοι ἐλεεινὸν εἰσῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθος· οὔτε αὖ ἡδονή, ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων, ὥσπερ εἰώ-

tibi negotii forte contingat. PHÆD. At otioſus ſum & ea enarrare vobis conabor. Etenim meminiſſe Socratis, ſive ipſe loquar, ſive alios audiam, mihi ſemper omnium eſt dulciſſimum. ECH. Atqui, Phædon, & hoſce, qui te audituri ſunt, ita prorſus affectos habes. Itaque conare omnia quantum poſſis accuratiſſime perſequi. PHÆD. Atqui ego quidem miro quodam modo illic præſens affectus eram. Neque enim me, tanquam ſi viri familiaris morti adeſſem, miſericordia ſubierat. Siquidem beatus ille mihi, Echecrates, videbatur, tum animi habitum tum orationem ejus *conſideranti*, adeo intrepide generoſeque e vita migrabat; ut mihi conſtaret eum ne ad inferos quidem abſque divina ſorte deſcendiſſe, ſed & illic quoque beatum fore, ſi quis unquam alius. Quamobrem neque miſericordia admodum commotus eram, ut conſentaneum videretur eum fore, qui luctuoſæ rei intererat; neque rurſus voluptate *affectus eram*, tanquam ſi in philoſophia, quemadmodum ſoleba-

θειμεν. καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν· ἀλλ' ἀτεχνῶς ἄτοπόν τι μοι πάθος παρῆν, καὶ τις ἀήθης κρᾶσις ἀπό τε τῆ ἡδονῆς συγκεκραμένη ὁμοῦ καὶ τῆ λύπης, ἐνθυμουμένῳ ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾶν. καὶ πάντες οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, ὥστε μὲ γελῶντες, ἐνίοτε δὲ δακρύοντες· εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος. οἶσθα γάρ που τὸν ἄνδρα καὶ τὸν τρόπον αὐτοῦ. ΕΧ. Πῶς γὰρ οὔ; ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχε, καὶ αὐτὸς ἐγώγε ἐτεταράγμην, καὶ οἱ ἄλλοι. ΕΧ. Ἔτυχον δὲ, ὦ Φαίδων, τίνες ὧν ἀγενόμενοι; ΦΑΙΔ. Οὗτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων παρῆν, καὶ Κριτόβουλος, καὶ ὁ πατὴρ αὐτοῦ Κρίτων· καὶ ἔτι Ἑρμογένης, καὶ Ἐπιγένης, καὶ Αἰσχίνης, καὶ Ἀντισθένης. ἦν δὴ καὶ Κτήσιππος ὁ Παιανιεὺς, καὶ Μενέξενος, καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δὴ, οἶμαι, ἠσθένει. ΕΧ. Ξένοι δέ τινες παρῆσαν; ΦΑΙΔ. Ναί. Σιμμίας τέ γε ὁ Θηβαῖος καὶ Κέβης καὶ Φαιδώνδης· καὶ Μεγαρό-

mus, verſaremur. Nam ſermones quidem *noſtri* ejuſmodi erant; ſed affectus quidam plane mirus, atque inſolita voluptatis ſimul & doloris permixtio me invaſerat, conſiderantem illi paulo poſt moriendum eſſe. Et quicunque aderamus, ſimiliter ferme affecti eramus, nunc quidem ridentes, nunc vero lacrymantes; unus autem noſtrum præ cæteris, Apollodorus: noſti enim virum ejuſque morem. ECH. Quidni? PHÆD. Ille ergo ita prorſus comparatus erat, atque ipſe aliique perturbati eramus. ECH. Quinam vero, Phædon, aderant? PHÆD. Indigenarum quidem, Apollodorus iſte, & Critobulus, paterque ejus Crito; item Hermogenes, Epigenes, Æſchines, & Antiſthenes: aderat quoque Cteſippus Pæanius, & Menexenus, atque alii quidam indigenarum: Plato autem, opinor, ægrotabat. ECH. Aliquine autem aderant peregrini? PHÆD. Imo. Simmias quidem Thebanus, Cebes, & Phædondes; Megarenſes ve-

θεν, Εὐκλείδης τε καὶ Τερψίων. ΕΧ. Τί δέ; Ἀρίστιππος καὶ Κλεόμβροτος παρεγένοντο; ΦΑΙΔ. Οὐ δῆτα. ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι. ΕΧ. Ἄλλος δέ τις παρῆν; ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους ὡσθ' ἁγενέσθαι.

γ'. ΕΧ. Τί οὖν δή; τίνες, φῂς, ἦσαν οἱ λόγοι; ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέρας εἰώθειμεν φοιτᾶν καὶ ἐγὼ καὶ οἱ ἄλλοι πρὸς τὸν Σωκράτη, συλλεγόμενοι ἕωθεν εἰς ὃ δικαστήριον, ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο. πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου. διεμυθούμεθα οὖν ἑκάστοτε ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων. ἀνεῴγετο γὰρ ὀψέ. ἐπειδὴ δὲ ἀνοιχθείη, ἴοιμεν πρὸς τὸν Σωκράτη, καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ καὶ τότε πρωϊαίτερον συνελέγημεν. τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ ἐπειδὴ ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἐπύθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη. παρηγγέλλομεν

πάνυ

no, Euclides & Terpſion. ECH. Quid vero? num Ariſtippus & Cleombrotus aderant? PHÆD. Nequaquam: in Ægina enim eſſe dicebantur. ECH. Aliuſne aliquis aderat? PHÆD. Hos ferme, *quos dixi*, *ſolos* interfuiſſe exiſtimo.

3. ECH. Quid ergo? Quoſnam habitos fuiſſe dicis ſermones? PHÆD. Conabor tibi a principio omnia enarrare. Solebamus enim ſemper etiam diebus ſuperioribus ad Socratem commeare ego atque alii, convenientes mane in forum illud, in quo cauſa acta erat; carceri enim proximum erat. Quotidie igitur expectabamus, donec carcer aperiretur, inter nos colloquentes: non enim mane admodum aperiebatur. Ubi autem apertum erat, ingrediebamur ad Socratem, & diem plerumque integrum cum ipſo agebamus. Et tunc quidem etiam prius ſolito conveneramus. Pridie enim, quum e carcere veſperi egreſſi eſſemus, navem ex Delo rediiſſe audiveramus. Conſtituimus

ὃν ἀλλήλοις ἥκειν ὡς πρωϊαίτατα εἰς τὸ εἰωθός· καὶ ἥκομεν· καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρὸς, ὅσπερ εἰώθει ὑπακούειν, εἶπεν ὀπιμένειν, καὶ μὴ πρότερον παριέναι ἕως ἂν αὐτὸς κελεύσῃ. λύουσι γὰρ, ἔφη, οἱ ἕνδεκα Σωκράτη, καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτᾷ. ὁ πολὺν δ' ὃν χρόνον ἐπιὼν, ἦκε καὶ ἐκέλευσεν ἡμᾶς εἰσιέναι. εἰσιόντες οὖν, καταλαμβάνομεν τὸ μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ Ξανθίππην (γιγνώσκεις γάρ) ἔχουσάν τε τὸ παιδίον αὐτοῦ καὶ προσκαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνωλόφυρέ τε, καὶ τοιαῦτα ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυναῖκες, Ὅπ, ὦ Σώκρατες, ὕστατόν δή σε προσερῶσι νῦν οἱ ἑταῖροι, καὶ σὺ τούτους. Καὶ ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα, Ω Κρίτων, ἔφη, ἀπαγέτω τις ταύτην οἴκαδε. Καὶ ἐκείνην μὲν ἀπῆγον τινὲς τοῦ Κρίτωνος, βοῶσάν τε καὶ κοπτομένην· ὁ δὲ Σωκράτης, ἀνακαθιζόμενος εἰς τὴν κλίνην, συνέκαμψέ τε τὸ σκέλος, καὶ ἔτριψε τῇ χειρί· καὶ τρί-

itaque mutuo ſummo mane ad *locum* ſolitum venire: & venimus: at ad nos egreſſus janitor, qui nobis ſolebat parere, expectare juſſit, nec prius ingredi quam ab ipſo accerſeremur. Solvunt enim, inquit, undecim viri Socratem, illique denunciant hodie mortem eſſe obeundam. Neque multum deinde tempus commoratus, rediit juſſitque nos intrare. Ingreſſi igitur, Socratem quidem invenimus *compedibus* paulo ante ſolutum, Xanthippen vero (illam enim noſti) puerum ejus tenentem eique aſſidentem. Cum itaque Xanthippe nos vidiſſet, ejulavit, & hujuſmodi quædam, quæ mulieres ſolent, dixit, O Socrates, nunc te poſtremum tui familiares alloquentur, & tu illos. Et Socrates Critonem intuitus, O Crito, inquit, abducat aliquis hanc domum. Et illam quidem abduxerunt quidam Critonis *domeſtici*, vociferantem atque plangentem: Socrates autem erectius ſedens in lecto, contraxit crus, manuque perfricuit; atque in-

ζων ἅμα, Ως ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ πῃ τοῦτο, ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν· τῷ ἅμα μὲν αὐτὼ μὴ θέλειν παραγίνεσθαι τῷ ἀνθρώπῳ· ἐὰν δέ τις διώκῃ θάτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύ' ὄντε. καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο, συνῆψεν εἰς ταυτὸν αὐτῶν τὰς κορυφάς. καὶ διὰ ταῦτα ᾧ ἂν θάτερον προσγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον. ὥσπερ δὴ καὶ αὐτῷ μοι ἔοικεν· ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεῖν, ἐκείνῳ δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ.

δ'. Ο οὖν Κέβης ὑπολαβών, Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, εὖ γ' ἐποίησας ἀναμνήσας με. καὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας, ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους, καὶ

ter fricandum, Quam mirum, inquit, videtur, virî, hoc eſſe, quod homines jucundum vocant; quam mirabiliter natura comparatum eſt ad moleſtum, quod ei contrarium videtur; quippe quæ ſimul homini adeſſe nolint; attamen ſi quis perſequatur capiatque alterum, ſemper ferme alterum quoque accipere cogatur, quaſi ambo ex uno apice penderent. Et mihi quidem videtur, Æſopum, ſi hæc animadverſiſſet, fabulam fuiſſe compoſiturum, deum *nempe*, cum ipſa inter ſe pugnantia vellet conciliare, neque *id facere* poſſet, in unum eorum apices conjunxiſſe: adeoque cuicunque adeſt alterum, ei quoque mox adeſt alterum. Quod ergo & mihi ipſi *nunc accidiſſe* arbitror: quandoquidem e vinculo dolor modo aderat cruri, hunc vero ſubſequi voluptas jam videtur.

4. Hic Cebes excipiens, Per Jovem, inquit, Socrates, opportune mihi memoriam renovaſti. De poematibus enim, quæ compoſuiſti, fabulis *nimirum* Æſopi verſu redditis, &

τὸ εἰς τὸν Ἀπόλλω προοίμιον, καὶ ἄλλοι τινές με ἤροντο ἤδη, ἀτὰρ καὶ Εὐηνὸς πρώην, ὅ, τι ποτὲ διανοηθεὶς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτὰ, πρότερον οὐδὲν πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐηνῷ ἀποκρίνεσθαι, ὅταν με αὖθις ἐρωτᾷ, (εὖ οἶδα γὰρ ὅτι ἐρήσεται) εἰπὲ, τί χρὴ λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι, ἐποίησα ταῦτα· (ἤδειν γὰρ ὡς οὐ ῥᾴδιον εἴη) ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος, εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικὴν μοι ἐπιτάττοι ποιεῖν. ἦν γὰρ δὴ ἅπερ τοιάδε· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ λέγον, Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου. καὶ ἐγὼ ἐν γε τῷ πρόσθεν χρόνῳ, ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι πρόσ-

hymno in Apollinem, tum alii quidam me interrogaverunt, tum & Euenus nuper, quonam conſilio, poſtquam huc deveniſti, ea feceris, cum nihil *hujuſmodi* prius unquam feciſſes. Si igitur tibi curæ eſt, ut habeam quod Eueno reſpondeam, quando iterum ex me quæſierit, (hoc enim certe ſcio eum facturum) die, quid ei ſit reſpondendum. Vera igitur, inquit, Cebes, ei reſponde, me hæc feciſſe, non ut ejus aut poematum ipſius æmulus eſſem; (noveram enim quam id foret difficile) verum ut inſomniorum quorundam periculum facerem, quid ſibi vellent, & me ipſum religione exolverem, ſi forte hæc eſſet ea muſica, quam ſæpius jam exercere me juſſerant. Erant enim quædam hujuſmodi: ſæpe mihi in anteacta vita idem inſomnium, modo hac modo illa forma occurrens, ſeſe obtulit, eadem *tamen ſemper* dicens, Muſicam, Socrates, tracta atque exerce. Atque ego in ſuperiori vita, quod faciebam, hoc ipſum mihi illud

κελεύεσθαί τε καὶ ὀπικελεύειν, ὥσπερ οἱ τοῖς θέοσι ἁμιλλωμένοις· καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅπερ ἔπραττον, τοῦτο ὀπικελεύειν, μουσικὴν ποιεῖν· ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος. νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο, καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν. ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι ποιήσαντα ποιήματα, πειθόμενον τῷ ἐνυπνίῳ. οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, ᾧ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεὸν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους, ἀλλ' οὐ λόγους, καὶ αὐτὸς οὐκ ἦν μυθολογικός, διὰ ταῦτα, ὡς προχείρους εἶχον καὶ ἡπιστάμην μύθους τοὺς Αἰσώπου, τούτων ἐποίησα οἷς πρῶτοις ἐνέτυχον.

suadere atque hortari arbitrabar, quemadmodum ii, qui *in ſtadio* currentes cohortantur; ſic & me inſomnium illud ad id, quod faciebam, cohortari, *nimirum* ad muſicam tractandam; quippe cum philoſophia maxima quidem eſſet muſica, ego autem in ea elaborarem. Nunc vero poſtquam ſententia de me lata eſſet, & hoc dei feſtum mortem meam diſtuliſſet, cenſui oportere, ſi hæc forte popularis eſſet muſica, quam inſomnium hoc toties juſſerat tractare, ei minime repugnare, ſed id agere. Tutius enim fore *arbitratus ſum*, ſi non prius hinc diſcederem, quam religione me exolviſſem, faciendo poemata, & inſomnio obtemperando. Itaque primum quidem in deum verſus feci, cujus hoc ſacrum erat: atque poſt deum *celebratum*, ratus oportere eum, qui poeta futurus ſit, non ſermones, ſed fabulas condere, me vero non eſſe fabulatorem *cognoſcens*, ideo fabulas Æſopi, quas in promptu habebam & ſciebam, ut in quamque prius incidi, modulatus ſum.

ε'. Ταῦτα οὖν, ὦ Κέβης, Εὐηνῷ φράζε· καὶ ἐρρῶσθαι, καὶ, ἂν σωφρονῇ, ἐμὲ διώκειν. ἄπειμι δὲ, ὡς ἔοικε, τήμερον· πελεύουσι γὰρ Ἀθηναῖοι. Καὶ ὁ Σιμμίας, Οἷον πρᾶγμα παραινεῖς, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐηνῷ; πολλὰ γὰρ ἤδη ἐνετύχηκα ᾧ ἀνδρί. ὡς ἐγὼν ἤθημαι, οὐδ' ὁπωστιοῦν ἂν σοι ἑκὼν εἰς πείσειε. Τί δαί, ἦ δ' ὅς, οὐ φιλόσοφος Εὐηνός; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν καὶ Εὐηνὸς, καὶ πᾶς ὅτῳ ἀξίως τούτου γε πράγματος μέτεστιν. οὐ μὴ ἴσως βιάσεται αὐτόν. οὐ γὰρ φασὶ θεμιτὸν εἶναι. Καὶ ἅμα λέγων ταῦτα, καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης ἐπὶ τὴν γῆν· καὶ καθεζόμενος, οὕτως ἤδη τὰ λοιπὰ διελέγετο. ἤρετο οὖν αὐτὸν ὁ Κέβης, Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, ὃ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἂν τῷ ἀποθνήσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δὲ, ὦ Κέβης, οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων, Φιλολάῳ συγγεγονότες; Οὐδέν γε σαφὲς, ὦ Σώκρατες. Αλ-

5. Hæc igitur, Cebes, refer Eueno; & *jube* valere, &, ſi ſapiat, me ſequi. Abeo autem, ut videtur, hodie: jubent enim Athenienſes. Tunc Simmias, Quale id eſt, inquit, Socrates, quod Eueno mandas? Sæpe enim in illum incidi. Quantum ergo ego ſenſi, nequaquam tibi iſte lubens morem geret. Quid vero, inquit ille, nonne philoſophus eſt Euenus? Mihi quidem videtur, inquit Simmias. Volet igitur & Euenus, & quicunque hujus rei dignus eſt particeps. Haud quidem forte ſibi vim inferet. Hoc enim fas eſſe negant. Et ſimul hæc dicens, crura e lecto demiſit in terram. Atque ſedens, ita deinceps reliqua diſputavit. Quæſivit igitur ab eo Cebes, Quonam id modo ais, Socrates, fas *quidem* non eſſe ſibi ipſi vim inferre, optaturum tamen philoſophum morientem ſequi? Quid, Cebes, inquit, nonne tu & Simmias de hujuſmodi rebus audiviſtis, qui Philolao familiariter uſi eſtis? Manifeſti quidem, *inquit Cebes*, nihil, Socrates. At-

λά μὴν καὶ ἐγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω. ἃ μέντοι τυγχάνω ἀκηκοὼς, φθόνος ὐδεὶς λέγειν. καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα ἐκεῖσε ἀποδημεῖν, διαλαμβάνειν τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας τῆ ἐκεῖ, ποίαν τινὰ οἰόμεθα αὐτὴν εἶναι. τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρις ἡλίου δυσμῶν χρόνῳ;

ς'. Κατὰ τί δὴ ὃν ποτε φασὶ θεμιτὸν εἶναι) αὐτὸν ἑαυτὸν ἀποκτεννύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ὅπερ δὴ νῦν σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διητᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. Ἀλλὰ θαρρητέα, ἔφη. τάχα γὰρ ἂν καὶ ἀκούσαιο. ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστι, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ [1] τἆλλα ἐστὶν, ὅτε καὶ οἷς βέλτιον τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοὶ φαίνεται, εἰ τούτοις

qui ego quoque de his rebus, *inquit Socrates*, ex auditu loquor. Quæ vero audivi, nequaquam gravabor dicere. Etenim fortasse maxime convenit ei, qui illuc migraturus est, considerare & fabulari de migratione illa, qualem *scilicet* eam futuram putamus. Quid enim aliud *potius* usque ad solis occasum quis faciat?

6. Quam igitur ob causam, Socrates, *inquit Cebes*, fas esse negant sibimet manus inferre? Jampridem enim, quod modo quærebas, ego a Philolao audivi, quum apud nos versaretur, & ab aliis insuper nonnullis, non decere id facere: manifesti vero hac de re nihil quicquam ab aliquo unquam audivi. Sed prompto, inquit, esse animo decet. Fortasse enim id modo audies. At mirum forsan videbitur, si hoc solum ex aliis omnibus simplex sit, nec accidat unquam homini, quemadmodum cætera; sed sit *quidem* quando & quibus melius sit mori, quam vivere; quibus vero mori melius sit, mirum tibi forsan videtur, si iis

1 Forsan πάλλα· ἀλλ' ἔστιν.

τοῖς ἀνθρώποις μὴ ὅσιον αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλ' ἄλλον δεῖ τινα ἐπιμέλειαν εὐεργέτιν. Καὶ ὁ Κέβης ἡρέμα ὑπογελάσας, Ἱττω Ζεὺς, ἔφη, τῇ αὐτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη ὁ Σωκράτης, οὕτως γ' εἰ ἄλογον· οὐ μέντοι ἀλλ' ἴσως γ' ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι, καὶ ὃ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν, ἢ ἀποδιδράσκειν, μέγας τέ τις μοι φαίνεται, καὶ ῥᾴδιος διιδεῖν. ἢ μήτοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους, καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἐν τοῖς κτημάτων τοῖς θεοῖς εἶναι. ἢ σοὶ οὐ δοκεῖ οὕτως; Ἔμοιγ', ἔφη ὁ Κέβης. Οὐκοῦν, ἦ δ' ὅς, καὶ σὺ ἂν τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτιννύοι, μὴ σημήνατός σου ὅτι βούλει αὐτὸ τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τινα ἔχοις τιμωρίαν, τιμωροῖο

hominibus nefas ſit ſibi ipſis *vim inferendo* benefacere, ſed alium oporteat expectare, qui iis benefaciat. Tunc Cebes leniter arridens, Noverit Jupiter, inquit, ſua ipſius lingua loquens. Etenim id quidem, inquit Socrates, ita præter rationem eſſe videatur: verum enimvero aliquam forſan, *qua innitatur*, rationem habet. Profecto ſermo ille, qui de hiſce rebus in *myſteriorum* arcanis habetur, nos *nimirum* homines in cuſtodia quadam *collocatos* eſſe, neque ergo decere *quenquam* ex hac ſeipſum ſolvere, neque aufugere, magnus quidem mihi videtur, neque perſpectu facilis. Veruntamen id mihi, Cebes, recte dici videtur, deos noſtri curam habere, & nos homines unum quoddam ex mancipiis deorum eſſe. Annon ita tibi videtur? Mihi quidem, inquit Cebes. Nonne igitur, inquit, & tu, ſi quod mancipiorum tuorum ſe ipſum perimeret, quum tu minime ſignificaſſes velle te ut e vita excederet, iraſcereris illi, & ſi quam poſſes, de eo pœnam

ἄν; Πάνυ γ', ἔφη. Ἴσως τοίνυν [1] ταύτην οὐκ ἄλογον, μὴ σφότερον αὐτὸν ἀποκτιννύναι δεῖν, σὲ μὲν ἀνάγκην τινὰ ὁ θεὸς ἐπιπέμψῃ, ὥσπερ καὶ τὴν νῦν ἡμῖν παροῦσαν.

ζ. Ἀλλ' εἰκός, ἔφη ὁ Κέβης, τοῦτό γε φαίνεται. Ὁ μέντοι νῦν δὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν, ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτόπῳ· εἴπερ ὁ νῦν δὴ ἐλέγομεν, εὐλόγως ἔχει, τὸ θεόν τε εἶναι τὸν ἐπιμελούμενον ἡμῶν, καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. Τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιτετᾶσιν αὐτῶν, οἵπερ ἄριστοί εἰσι τῶν ὄντων ἐπιτάται, θεοί, οὐκ ἔχει λόγον. οὐ γὰρ που αὐτός γε ἑαυτοῦ ἄμεινον οἴεται ἐπιμελεῖσθαι, ἐλεύθερος γενόμενος· ἀλλ' ἀνόητος μέν ἄνθρωπος τάχ' ἂν οἰηθείη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ' ὅτι μάλιστα παραμένειν. διὸ ἀλογίστως ἂν

sumeres? Omnino, inquit. Fortaſſe igitur hoc modo non præter rationem eſt, *hominem* non prius debere ſe ipſum interficere, quam deus neceſſitatem aliquam impoſuerit, qualem nobis *impoſuit* in præſentia.

7. At conſentaneum id quidem apparet, inquit Cebes. Quod vero modo dicebas, philoſophos perfacile velle mori, id abſurdum, Socrates, videtur; ſi quidem quod nunc diximus rationi conſentiat, deum noſtri curam gerere, noſque ejus eſſe mancipia. Minime enim conſentaneum eſt prudentiſſimos homines non id ægre ferre, ſe ab ea clientela diſcedere, in qua illis præſunt dii, optimi rerum domini. Nequaquam enim iſte putat ipſum ſe melius eſſe curaturum, ubi liber evaſerit: ſed demens aliquis forſitan hæc exiſtimaret, fugiendum eſſe a domino: neque cogitaret, non eſſe a bono *domino* fugiendum, ſed *apud eum* quam maxime permanendum. Ideoque abſque ratione

1 Forſan ταύτῃ *Steph.*

φεύγοι· ὁ δὲ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι πρὸς τοῦ αὐτοῦ βελτίονι. καίτοι ὅπως, ὦ Σώκρατες, τἀναντίον εἶναι εἰκὸς ἢ ὁ δὴ νῦν ἐλέγετο. σοὶ μὲν γὰρ φρονίμους ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ' ἄφρονας χαίρειν. Ακούσας οὖν ὁ Σωκράτης ἡδέως μέ τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος προθυμίᾳ· καὶ ἐπιβλέψας εἰς ἡμᾶς, Αεί τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι ὅ, τι ἄν τις εἴποι. Καὶ ὁ Σιμμίας, Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, νῦν γε δοκεῖ μοι καὶ αὐτῷ λέγειν Κέβης. πῇ γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὐτῶν φεύγοιεν, καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων, καὶ ἄρχοντας ἀγαθοὺς, ὡς αὐτὸς ὁμολογεῖς, θεούς. Δίκαια, ἔφη, λέγετε. οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με ἀπολογήσασθαι ὥσπερ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας.

fugeret: at vir ſanus ſemper apud eum, qui ipſo ſit melior, eſſe cuperet. Atqui hoc pacto, Socrates, contrarium ei, quod modo dicebatur, evenire conſentaneum eſt. Sapientes enim decet, cum morituri ſint, indignari, inſipientes vero gaudere. Socrates igitur cum hæc audiſſet, delectari mihi viſus eſt ſubtili illa Cebetis diſquiſitione, & nos intuens, Semper, inquit, Cebes rationes qaaſdam inveſtigat, neque ſtatim admodum, quod quis dixerit, vult admittere. Tunc Simmias, At mihi quoque ipſi, inquit, Socrates, nunc quidem aliquid Cebes dicere videtur. Quo enim conſilio viri vere ſapientes dominos ipſis meliores fugerent, & ab iis temere diſcederent? Atque mihi videtur Cebes ſermonem in te intendere, quod tam æquo animo, & nos relinquas, & bonos dominos, ut ipſe fateris, deos. Juſta dicitis, inquit *Socrates*. Arbitror enim vos id velle, me tanquam in judicio defenſionem inſtituere oportere. Et maxime quidem, inquit Simmias.

η'. Φέρε δὴ, ἦ δ' ὅς, πειραθῶ πρὸς ὑμᾶς πιθανώτερον ἀπολογήσασθαι, ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν, πρῶτον μὲν πρὸ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθοὺς, ἔπειτα καὶ πρὸ ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἄν, οὐκ ἀγθομαι τῷ θανάτῳ· νυνὶ δὲ εὖ ἴστε ὅτι πρὸ ἀνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διϊσχυρισαίμην· ὅτι μέντοι πρὸ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διϊσχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε πρὸ ταῦτα οὐχ ὁμοίως ἀγθομαι τῷ, ἀλλ' εὐελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι· καὶ, ὥσπερ γέ καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς. Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; πότερον αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην, ἐν νῷ ἔχεις ἀπιέναι; ἢ κἀν ἡμῖν μεταδοίης; κοινὸν γάρ δή ἔμοιγε

8. Age ergo, inquit, conandum apud vos probabilius, quam apud judices *fecerim*, me defendere. Equidem ego, Simmia atque Cebes, nisi me migraturum putarem, primum quidem ad deos alios sapientes & bonos, deinde & ad homines defunctos his, qui hic sunt, meliores, injuste agerem, mortem non moleste ferendo: nunc autem pro certo habetote sperare me ad viros bonos iturum: sed hoc quidem haud omnino asseverarem: quod vero ad deos dominos valde bonos me iturum *sperem*, pro certo habetote me, si quid aliud hujusmodi, & hoc affirmaturum. Quare hac de causa mortem haudquaquam moleste fero, perinde *ac si aliter se res haberet*, sed spem bonam habeo, defunctis aliquid superesse; &, quemadmodum etiam olim dicitur, multo melius bonis fore quam malis. Quid igitur, Socrates, inquit Simmias? Num ipse istam tibi habens sententiam, hinc abire cogitas? an nos quoque participes ejus facies? Nam commune nobis

δοκεῖ καὶ ἡμῖν εἶναι ἀγαθὸν τοῦτο· καὶ ἅμα σοι ἡ ἀπολογία ἐσται, ἐὰν ἅπερ λέγῃς ἡμᾶς πείσῃς. Αλλὰ πειράσομαι, ἔφη. πρῶτον δὲ Κείτωνα τόνδε σκεψώμεθα, τί ὅτιν ὁ βούλεσθαί μοι δοκεῖ πάλαι εἰπεῖν. Τί δὲ, ὦ Σώκρατες, ἔφη ὁ Κείτων, ἄλλο γε ἢ πάλαι μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον διαλεγομένους· δεῖν δὲ οὐδὲν τοιοῦτον παρεμφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τοὺς τὰ τοιοῦτον ποιοῦντας. Καὶ ὁ Σωκράτης, Εα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον ὃ ἑαυτοῦ παρασκευαζέτω, ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ, καὶ τρίς. Αλλὰ σχεδόν μοὐτοι ἤδειν, ἔφη ὁ Κρίτων· ἀλλά μοι πάλαι πρέχει. Εα αὐτὸν, ἔφη· ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι τὸν λόγον ἀποδοῦναι, ὡς μοι φαίνεται εἰκότως ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατείψας τὸν

quoque id bonum mihi videtur: & ſimul hæc tibi erit defenſio, ſi quæ dicis nobis perſuaſeris. Dabo equidem operam, inquit. Sed prius inſpiciamus, quid iſtud eſt, quod hic Crito mihi jamdudum dicere velle videtur. Quidnam aliud eſt, Socrates, inquit Crito, niſi quod jamdudum mihi dicit is, qui tibi venenum daturus eſt, te *videlicet* monendum eſſe, ut quam parciſſime diſputes? Dicit enim eos, qui diſputant, nimium incaleſcere; nihil vero tale veneno admiſceri debere: alioquin eos, qui id fecerint, cogi interdum bis terque *venenum* bibere. Tum Socrates, Eum, inquit, jube valere: tantum id, quod officii ſui eſt, curet, tanquam bis, &, ſi oportuerit, etiam ter daturus. Et ferme quidem, inquit Crito, *id te reſponſurum* noveram: ſed mihi ille jamdudum negotium faceſſit. Ipſum, inquit, valere jube: ego vero vobis *tanquam* judicibus rationem jam reddere volo, cur mihi videatur homo, qui revera vitam in philoſophia

βίον, θαῤῥεῖν μέλλων ἀποθνῄσκειν, καὶ εὐέλπις εἶναι ἐκεῖ μέγιστα οἴεσθαι ἀγαθὰ, ἐπειδὰν τελευτήσῃ. πῶς ἂν οὖν δὴ τοῦθ' οὕτως ἔχοι, ὦ Σιμμία τε καὶ Κέβης, ἐγὼ πειράσομαι φράσαι.

θ'. Κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἅπτόμενοι φιλοσοφίας, λελῆθέναι τὰς ἄλλους ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. εἰ οὖν τοῦτο ἀληθὲς, ἄτοπον δή που ἂν εἴη, προθυμεῖσθαι μὲν ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτο· ἥκοντος δὲ δὴ αὐτοῦ, ἀγανακτεῖν ὃ πάλαι προθυμοῦντό τε καὶ ἐπετήδευον. Καὶ ὁ Σιμμίας γελάσας, Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὐ πάνυ γέ με νῦν δὴ γελασείοντα ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν τοὺς πολλοὺς αὐτὸ τοῦτο ἀκούσαντας, δοκεῖν εὖ πάνυ εἰρῆσθαι εἰς τοὺς φιλοσοφοῦντας, καὶ ξυμφάναι ἂν τοὺς μὲν παρ' ἡμῖν ἀνθρώπους καὶ πάνυ, ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι, καὶ σφᾶς γε ἠ

consumpserit, merito fidenti animo esse, cum moriturus sit, bonamque spem habere, se ibi, postquam decesserit, maxima bona reportaturum. Quomodo igitur id ita se habeat, Simmia atque Cebes, ego conabor exponere.

9. Quicunque philosophiam recte attingunt, videntur latuisse cæteros homines, se nulli alii rei operam dare quam ut, *dum vivunt*, moriantur & mortui sint. Quod si hoc verum est, absurdum certe esset, eos nullii quidem alii rei præter hanc per omnem vitam studere, quum vero id ipsum advenerit, *hac de re* indignari, cui jamdudum studuerant & operam dederant. Hic Simmias ridens, Per Jovem, inquit, Socrates, effeciſti ut ego, qui nunc quidem haud valde ridere cupiebam, riderem. Arbitror enim vulgus, si id ipsum audierit, optime in philosophos dictum existimaturum, nostrosque homines tibi consensuros & valde quidem, philosophos revera mortem perdite amare, ipsosque minime

λελήθασιν ὅτι ἄξιοί εἰσι τοῦτο πάσχειν. Καὶ ἀληθῆ γ' ἂν λέγοιεν, ὦ Σιμμία, πλήν γε τὸ σφᾶς μὴ λεληθέναι. λέληθε γὰρ αὐτοὺς ἥ τε θανατῶσι καὶ ἣ ἄξιοί εἰσι θανάτου ⓐ ὡς ἀληθῶς φιλόσοφοι. εἴπωμεν γάρ, ἔφη, πρὸς ἡμᾶς αὐτοὺς, χαίρειν εἰπόντες ἐκείνοις· ἡγούμεθά τι τὸν θάνατον εἶ); Πάνυ γ', ἔφη Σιμμίας. Ἆρα μὴ ἄλλο τι ἢ τοῦτο τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγή; καὶ εἶ τοῦτο τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγέν, αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι· χωρὶς δὲ τοῦ σώματος ἀπαλλαγεῖσαν, αὐτὴν καθ' αὑτὴν εἶ); ἆρα μὴ ἄλλο τι ἢ ὁ θάνατος ἢ τοῦτο; Οὐκ, ἀλλὰ τοῦτο, ἔφη. Σκέψαι δή, ὦ γαθέ, ἐὰν ἄρα ᾖ σοὶ ξυνδοκῇ ἅπερ ἐμοί. ἐκ γὰρ τούτων μᾶλλον οἶμαι ἡμᾶς εἰσεσθαι περὶ ὧν σκοποῦμεν. φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶ) ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σιτίων τε καὶ ποτῶν; Ἥκιστά γε, ὦ Σώκρατες, ἔφη ὁ Σιμ-

latere, dignos esse eos, qui hoc patiantur. Et vera, Simmia, dicerent, præterquam quod se hoc non latere *addunt*. Latet enim ipsos qua ratione veri philosophi & mori tantopere ament & morte digni sint. Missos ergo jam faciamus illos, nobisque ipsis loquamur: putamusne mortem aliquid esse? Aliquid certe, excepit Simmias. Numquid aliud, *inquit*, quam animæ a corpore solutionem? Esseque id mortuum esse, *scilicet* solutum ab anima corpus, ipsum per se seorsum esse; & seorsum quoque a corpore animam solutam, ipsam per se ipsam existere? Numquid mors præter hoc aliud est? Non, sed hoc ipsum, inquit *Simmias*. Considera ergo, vir bone, utrum tibi quoque eadem, quæ & mihi videantur. Ex his enim nos arbitror planius, quæ perquirimus, intellecturos. Videturne tibi philosophi esse in hujusmodi quæ vocantur voluptatibus, quales sunt cibi & potus, studium ponere? Minime quidem, Socrates, inquit Sim-

μίας. Τί δέ; τὰς τ' ἀφροδισίων; Οὐδαμῶς. Τί δέ; τὰς ἄλλας τὰς περὶ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμως ἡγεῖσθαι ὁ τοιοῦτος; οἷον, ἱματίων διαφερόντων κτήσεις, καὶ ὑποδημάτων, καὶ τὰς ἄλλας καλλωπισμὰς τὰς περὶ σῶμα, πότερον τιμᾶν δοκεῖ σοι, ἢ ἀτιμάζειν, καθόσον μὴ πολλὴ ἀνάγκη μετέχειν αὐτῶν; Ἀτιμάζειν ἔμοιγε δοκεῖ, ἔφη, ὅγε ὡς ἀληθῶς φιλόσοφος. Οὐκοῦν ὅλως δοκεῖ σοι, ἔφη, ἡ τοῦ τοιούτου πραγματεία, ἡ περὶ τὸ σῶμα εἴη, ἀλλὰ, καθόσον δύνανται, ἀφεστάναι αὐτῆς, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι; Ἔμοιγε. Ἆρ' οὖν πρῶτον μέν γε τοῖς τοιούτοις δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας διαφερόντως τῶν ἄλλων ἀνθρώπων; Φαίνεται. Καὶ δοκεῖ γέ που, ὦ Σιμμία, τοῖς πολλοῖς ἀνθρώπων, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων, μηδὲ μετέχῃ αὐτῶν, οὐκ [1]ἄξιον εἶναι ζῆν,

mias. Quid vero? an in rebus venereis? Nullo modo, *inquit*. Quid vero? an reliquos, qui ad corpus ſpectant, cultus talis vir in pretio habere tibi videtur? veſtium nimirum egregiarum calceorumque & aliorum corporis ornamentorum acquiſitionem, utrum in pretio habere videtur, an nihili pendere, niſi quatenus magna adſit neceſſitas illis utendi? Mihi quidem videtur verus philoſophus hæc omnia contemnere, inquit *Simmias*. Omnis ergo omnino talis viri opera & ſtudium, non in corpore *curando*, ſed in eo, ut, quantum fieri poteſt, ab illo ſejungatur, atque ad animum ſe convertat, tibi poſitum videtur? Mihi quidem, *inquit*. Nonne igitur primum quidem in hujuſmodi rebus manifeſte apparet philoſophus præ cæteris hominibus animum quam maxime a corporis commercio ſegregare? Apparet, *inquit*. Et vulgo hominum, Simmia, videtur is, cui nihil hujuſmodi dulce ſit, quique illis non utatur, vita minime dignus eſſe,

1 Forſan ἄξιος.

ἀλλ' ἐγγύς τι τείνειν τῷ πεθνάναι ὁ μηδὲν φροντίζων τ ἡδονῶν, αἱ ἀμὰ ἅμα σώματός εἰσι. Πάνυ μὲν οὖν ἀληθῆ λέγεις.

ι'. Τί δὲ δὴ περὶ αὐτὴν τ φρονήσεως κτῆσιν; πότερον ἐμπόδιον ὅ σῶμα, ἢ ὅ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν συμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε λέγω· ἆρα ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις; ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἀεὶ ἡμῖν θρυλλοῦσιν, ὅτι οὔτ' ἀκούομεν ἀκριβὲς οὐδέν, οὔτε ὁρῶμεν; καίτοι εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσι μηδὲ σαφεῖς, χολῇ γε αἱ ἄλλαι. πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν. ἢ σοι δοκοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Πότε οὖν, ἦ δ' ὅς, ἡ ψυχὴ τ ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότε ἐξαπατᾶται ὑπ' αὐτοῦ. Ἀληθῆ λέγεις. Ἀρ' οὖν οὐκ ἐν ᾧ λογίζεταί, εἴπερ που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τ ὄντων; Ναί. Λογίζεται δὲ γέ που τότε κάλλιστα, ὅταν αὐτῶν τούτων μηδὲν παραλυ-

sed ad mortem prope accedere, qui voluptates, quas corpus miniſtrat, nihil curet. Veriſſima dicis, *inquit*.

10. Quid autem in ipſa ſapientiæ acquiſitione? utrum impedimento eſt corpus, necne, ſi quis ipſum in ea inveſtiganda ſocium aſſumpſerit? Quale id eſt quod dico. Habentne viſus & auditus veri in hominibus aliquid? an vero talia ipſis etiam poetis ſemper decantata ſunt, nihil nos audire, nihil videre ſincerum? Atqui ſi ii corporis ſenſus ſinceri perſpicuique non ſunt, nedum certe cæteri: quippe qui omnes his quodammodo deteriores ſint. An non tibi videntur? Prorſus, inquit. Quando igitur animus veritatem attingit, inquit? quum enim aliquid una cum corpore tentat inveſtigare, manifeſtum eſt ipſum ab eo decipi. Vera loqueris, *inquit*. Annon ergo in ratiocinando, ſi uſquam alibi, fit illi aliquid eorum, quæ revera ſunt, manifeſtum? Ita eſt, *inquit*. Ratiocinatur autem tunc optime, cum horum nihil eum pertur-

πῇ, μήτε ἀκοὴ, μήτε ὄψις, μήτε ἀλγηδὼν, μήτέ τις ἡδονὴ, ἀλλ' ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται, ἐῶσα χαίρειν τὸ σῶμα, καὶ, καθόσον δύναται, μὴ κοινωνοῦσα αὐτῷ, μηδ' ἁπτομένη, ὀρέγηται τοῦ ὄντος. Ἐστι ταῦτα. Οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστα ἀπιμάζει τὸ σῶμα, καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐτὴ καθ' αὑτὴν γίγνεσθαι; Φαίνεται. Τί δὲ δὴ τὰ τοιάδε, ὦ Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτό, ἢ οὐδέν; Φαμέν τι, νὴ Δία. Καὶ γε καλόν γε ἀγαθόν; Πῶς δ' οὔ; Ἦδη οὖν ποτέ τι τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἶδες; Οὐδαμῶς, ἦ δ' ὅς. Ἀλλ' ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ τοῦ σώματος ἐφήψω αὐτῶν, (λέγω δὲ περὶ πάντων, οἷον μεγέθους πέρι, ὑγιείας, ἰσχύος, καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάντων τῆς οὐσίας, ὃ τυγχάνει ἕκαστον ὄν) ἆρα διὰ τοῦ σώματος τἀληθέστατον αὐτῶν θεωρεῖται; ἢ ὧδ' ἔχει· ὃς ἂν μάλιστα ἡμῶν γε ἀκριβέστατα πρα-

bet, neque auditus, neque viſus, neque dolor, neque voluptas aliqua, ſed ipſe quam maxime ſe ipſum in ſe recipiat, corpuſque valere jubens, & nihil, quoad fieri poteſt, cum illo commune habens, neque illud attingens, ipſum quod vere eſt, affectet. Ita eſt, *inquit*. Nonne & hic philoſophi animus maxime contemnit corpus, ab eoque fugit, quæritque ipſe ſeorſum per ſe ipſum eſſe? Apparet. Quid vero de hiſce, Simmia, *ſtatuendum?* dicimuſne juſtum ipſum eſſe aliquid, an nihil? Aliquid *eſſe* dicimus per Jovem, *inquit*. Nonne etiam pulchrum & bonum *aliquid eſſe?* Quidni? Jam vero horum quicquam unquam oculis vidiſti? Nequaquam, inquit. An alio aliquo corporis ſenſu illa attigiſti, (loquor autem de omnibus, veluti de ipſa magnitudine, ſanitate, robore, ac ſummatim de cæterorum omnium eſſentia, id *nimirum*, quod unumquodque revera eſt) utrum per corpus veriſſima eorum natura perſpicitur? an ita ſe res habet, ut quicunque noſtrum maxime & accuratiſſime ad illud

σκοπεῖται αὐτὸ ἕκαστον διανοηθῶμεν, περὶ οὗ σκοπεῖ, οὕτω ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι ἕκαστον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν ἐκεῖνος ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅστις ὅτι μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τινὶ ὄψιν προσβαλλόμενος ἐν τῷ διανοεῖσθαι, μήτε ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος, αὐτὸ καθ' αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειρεῖ θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅτι μάλιστα ὀφθαλμῶν τε καὶ ὤτων, καὶ, ὡς ἔπος εἰπεῖν, ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ; ἆρ' οὐχ οὗτός ἐστι, ὦ Σιμμία, εἴπερ τις ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος; Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις, ὦ Σώκρατες.

ια'. Οὐκοῦν ἀνάγκη, ἔφη, ἐκ πάντων τούτων παρίστασθαι δόξαν

ipsum unumquodque, in quo disquirendo versatur, cogitatione complectendum se comparet, hic proxime ad cognitionem ipsius accedat? Prorsus. Nonne igitur ille hoc puriſſime præstiterit, quicunque ipsa cogitatione quam maxime se ad unumquodque conferat, neque visum in cogitando adhibens, neque ullum alium omnino sensum ratiocinationi asciscens, sed ipsa per se cogitatione sincera utens, unumquodque eorum, quæ revera sunt, ipsum per se sincerum venari aggrediatur, quam maxime ab oculis, auribus, &, ut summatim dicam, a toto corpore sejunctus, quippe quod perturbet animum, neque sinat veritatem sapientiamque assequi, si quando in communionem recipiatur? annon hic erit, Simmia, si quis alius, qui id, quod revera est, assecuturus sit? Mirum in modum quam veriſſime loqueris, Socrates, inquit Simmias.

11. Nonne igitur, inquit, ex his omnibus, necesse est, opinionem quandam hujusmo-

τοιάνδε πινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτα ἄττα λέγειν; Οἶμαι κινδυνεύει τοι ὥσπερ ἀπραπὸς ἐκφέρειν ἡμᾶς μὴ ἔξ λόγῳ ἐν τῇ σκέψει· ὅτι, ἕως ἂν ὃ σῶμα ἔχωμεν, καὶ ξυμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μὴ ἔξ τοιούτῳ κακῷ, οὐ μήποτε κτησώμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν. φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν· (ἔτι δέ, ἄν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν) ἐρώτων τε καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν, καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς· ὥστε, ὃ λεγόμενον, ὡς ἀληθῶς τῷ ὄντι οὐδ' αὐτοῦ τούτου δι' αὐτὸ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας ὅθεν ἄλλοθεν παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. πᾶσαι γὰρ διὰ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι γίγνονται· τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θε-

di iis, qui vere philoſophi ſunt, uſque adeo obverſari, ut inter ſe talia quædam loquantur? Videtur quidem quaſi ſemita quædam nos cum ratione in *rerum* conſideratione *e via vulgari* educere; quod, quamdiu corpus habeamus, animuſque noſter tali malo contaminatus ſit, nunquam id, quod cupimus, ſatis conſecuturi ſimus. Id autem veritatem eſſe dicimus. Infinita enim nobis negotia corpus faceſſit propter neceſſarium ejus alimentum: (præterea, ſi qui morbi incederint, nos in veritate indaganda impediunt) & amoribus quoque, cupiditatibus, timoribus, & imaginibus omnigenis, multiſque demum ineptiis nos replet; ut, quemadmodum dicebatur, vere & re ipſa per illud nihil unquam ſapere nobis omnino contingat. Etenim bella, ſeditiones, & pugnas nihil aliud præbet, quam corpus ejuſque cupiditates. Omnia enim bella pecuniarum acquirendarum gratia fiunt: pecunias autem quærere cogimur corporis gratia, cultui ejus in-

εμπείας· καὶ ἐκ τούτου ἀχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ ταῦτα πάντα. τὸ δ' ἔσχατον πάντων, ὅτι, ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ, καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ πανταχῇ πανταπίπτον, θόρυβον παρέχει καὶ ταραχὴν, καὶ ἐκπλήττει, ὥστε μὴ δυνάσθαι ὑπ' αὐτοῦ καθορᾶν τἀληθές· ἀλλὰ φανερὸν ὄντι ἡμῖν δέδεικται ὅτι, εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ, καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα. καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καὶ φαμὲν ἐρασταὶ εἶναι, φρονήσεως, ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει· ζῶσι δὲ οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ὅσιον κτήσασθαι τὸ εἰδέναι, ἢ τελευτήσασι. τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἡ ψυχὴ ἔσται χωρὶς τοῦ σώματος, πρότερον δ' οὔ. καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕ-

servientes; atque hinc fit, ut propter hæc omnia nobis philoſophiæ vacare non contingat. Extremum vero id omnium eſt, quod, ſi quid ab ipſo otii nobis ſit, & ad conſiderandum aliquid noſmet conferamus, nobis rurſus ubique, dum in rerum inveſtigatione verſamur, obverſatum, turbas & tumultum excitat, noſque adeo percellit, ut propter ipſum verum perſpicere nequeamus. Sed nobis revera demonſtratum eſt, nos, ſi quando ſumus pure aliquid intellecturi, ſejungi a *corpore* oportere, atque ipſo animo res ipſas contemplari. Atque tunc, ut videtur, nobis continget id, quod affectamus, cujuſque amatores profitemur nos eſſe, *ſcilicet* ſapientia, cum *videlicet* mortui fuerimus, quemadmodum *noſtra* indicat oratio: dum autem vivimus, nequaquam. Etenim ſi nihil cum corpore pure diſcerni poteſt, e duobus alterum *ſequi neceſſe eſt*, *ut* aut nuſquam penes nos erit ſcientiam conſequi, aut poſt mortem. Tunc enim animus ipſe per ſe ipſum erit ſeorſum a corpore, prius vero nequaquam. Atque dum vi-

τως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι, μηδὲ κοινωνῶμεν, (ὅτι μὴ πᾶσα ἀνάγκη) μηδὲ ἀναπιμπλώμεθα τῆς τοῦ φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. καὶ οὕτω μὲν καθαροὶ, ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς ὃ εἰκός, μετὰ τοιούτων τε ἐσόμεθα, καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές. τοῦτο δ' ἔστιν ἴσως τὸ ἀληθές. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. Τοιαῦτα οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον εἶναι τοὺς ὀρθῶς φιλομαθεῖς πρὸς ἀλλήλους λέγειν καὶ δοξάζειν πάντας τοὺς ὀρθῶς φιλομαθεῖς. ἢ γὰρ δοκεῖ σοι οὕτως; Πάνυ γε μᾶλλον, ὦ Σώκρατες.

ιβ'. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ ταῦτ' ἀληθῆ, ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ οἷ ἐγὼ πορεύομαι, ἱκανῶς ἔχειν, εἰπέρ που ἄλλοθι, κτήσασθαι τοῦτο, οὗ ἕνεκα ἡ πολλὴ φροντὶς ἡμῖν

vimus, ita, uti videtur, proxime ad ſcientiam accedemus, ſi quam minimum cum corpore commercium habuerimus, neque quicquam cum illo communicaverimus, (niſi quantum ſumma cogat neceſſitas) neque hujus natura repleti fuerimus, ſed ab eo puros nos præſtiterimus, donec deus ipſe nos ſolvat. Atque ita quidem puri, & a corporis inſipientia liberati, ut conſentaneum eſt, cum *aliis* talibus erimus, cognoſcemuſque per nos ipſos ſincerum omne: id autem forſitan eſt ipſum verum. Nam *videndum eſt* ne impuro purum attingere nefas ſit. Talia quidem, Simmia, judico neceſſarium eſſe omnes recte diſcendi cupidos loqui inter ſe, atque opinari: annon tibi ita videtur? Et maxime quidem omnium, Socrates.

12. Si hæc igitur, inquit Socrates, vera ſunt, amice, magna ſpes eſt, eum, qui illuc pervenerit, quo ego nunc proficiſcor, id illic, ſi uſquam alibi, abunde conſecuturum, cujus gratia tantam nos operam

ἐν τῷ παρόντι βίῳ γέγονεν. ὥστε ἡ γε ἀποδημία ἡ νῦν ἐμοὶ προστεταγμένη, μὴ ἀγαθῆς ἐλπίδος γίγνεσθαι καὶ ἄλλῳ ἀνδρὶ, ὃς ἡγεῖται οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. Κάθαρσις δὲ εἶναι ἆρα ἃ τοῦτο ξυμβαίνει, ὅπερ πάλαι ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχὴν, καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν, καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα, μόνην καθ' αὑτὴν, ἐκλυομένην, ὥσπερ ἐκ δεσμῶν, ἐκ τοῦ σώματος; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γ', ἦ δ' ὅς. Λύειν δέ γε αὐτὴν, ὡς φαμὲν, σπουδὴν ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς· καὶ ὅ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος, ἢ οὔ; Φαίνεται. Οὐκοῦν, ὅπερ ἐν ἀρχῇ ἔλε-

in præsenti vita impendimus. Hanc ergo migrationem in præsentia mihi impositam, bona spe & *ego*, & quivis alius suscipiet, qui mentem sibi ita præparatam esse putet, ut quasi purificata sit. Ita prorsus, inquit Simmias. Purificatio vero, *inquit*, nonne in hoc consistit, quod jamdudum in sermone *nostro* dicebamus, *videlicet* ut animum quam maxime a corpore sejungamus, ipsumque assuefaciamus semet undique e corpore congregare & colligere, atque, quoad ejus fieri potest, habitare, & in præsenti *tempore* & in futuro, solum per se, corpore, tanquam vinculis, solutum? Maxime quidem, inquit. Nonne mors hoc vocatur, solutio & separatio animæ a corpore? Prorsus, inquit. Solvere vero ipsam, quemadmodum dicimus, ii maxime semper & soli student, qui recte philosophantur: atque hæc est ipsa philosophorum exercitatio, animam a corpore solvere atque separare, an non? Videtur. Nonne igitur, ut in principio di-

γον, γελοῖον ἂν εἴη, ἄνδρα σπουδάζοντ' ἐαυτὸν ἐν ᾧ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι, οὕτω ζῆν· καὶ πειθ' ἥκοντος αὐτῷ τούτου, ἀγανακτεῖν; οὐ γελοῖον; Πῶς δ' οὔ; Τῷ ὄντι ἄρα, ἔφη, ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ ὁ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει. εἰ γὰρ διαβέβλωνται μὲν σφόδρα τῷ σώματι, αὐτὴν δὲ καθ' αὑτὴν ὀπιθυμοῦσι τὴν ψυχὴν ἔχειν, τοῦτο δὲ γιγνομένου φοβοῖντο καὶ ἀγανακτοῖεν, ἃ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν, οἷ ἀφικομένοις ἐλπὶς ἔστιν οὗ μὲν διὰ βίου ἤρων, τυχεῖν, (ἤρων δὲ φρονήσεως) ᾧ τε διεβέβλητο, τοῦτο ἀπαλλάξεσθαι συνόντος αὐτοῖς; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναικῶν καὶ υἱέων ἀποθανόντων, πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς ᾅδου ἐλθεῖν, ὑπὸ ταύτης ἀγόμενοι τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τι ἐκεῖ ὧν ἐπεθύμουν, καὶ ξυέσεσθαι; φρονήσεως δὲ

cebam, ridiculum foret, ſi vir, qui ita ſe in vita comparaverit, ut quam proxime ad mortem accederet, ita *quidem* viveret; ea vero, *morte ſcilicet*, deinde illi adveniente, indignaretur? nonne id ridiculum? Quidni? Revera igitur, inquit, Simmia, qui recte philoſophantur, mori ſtudent, & mors ipſis minime *omnium* hominum formidabilis eſt. Ex hiſce vero conſidera. Cum enim corpori ex omni parte infenſi ſint, animum vero ipſum cupiant per ſe ipſum habere, nonne a ratione valde alienum erit, ſi tunc, quando id evenit, expaveſcant moleſteque ferant, neque libenter illuc proficiſcantur, quo quum pervenerint, ſpes eſt eos, hoc, quod in *omni* vita amabant, potituros, (amabant autem ſapientiam) & illius, cui infenſi erant, commercio liberari? An vero deliciis humanis, uxoribuſque, & liberis defunctis, multi ſponte voluerunt ad inferos proficiſci, ſpe *nempe* ducti eos ibi videndi & cum iis verſandi, quos amaverant? ſapientiæ autem

ἆρα τίς ᾧ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι οἰήσεσθαι αὐτῇ ἀξίως λόγου, ἢ ἐν ᾅδου, ἀγανακτήσει τε ἀποθνήσκων, καὶ οὐκ ἄσμενος εἶσιν αὐτόσε; οἴεσθαί γε χρή, ἐὰν ᾖ ὄντι ᾧ ἑταῖρε, φιλόσοφος. σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει, μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει, ἀλλ' ἢ ἐκεῖ· εἰ δὴ τοῦτο οὕτως ἔχει, ὅπερ ἄρτι ἔλεγον, ἂ πολλὴ ἂν ἀλογία εἴη, εἰ φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος; Πολλὴ μὰ τοι νὴ Δία, ἦ δ' ὅς.

ιγ'. Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο ἀνδρὸς, ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθνῄσκειν, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος. ὁ αὐτὸς δέπου οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος· ἤτοι τὰ ἕτερα τούτων, ἢ ἀμφότερα. Πάνυ, ἔφη, ἔχει οὕτως, ὡς λέγεις. Ἆρ' οὖν, ἔφη, ὦ Σιμμία, ὃ καὶ ἡ ὀνομαζομένη ἀνδρεία τοῖς οὕτω διακειμένοις μάλιστα πρέπει;

verus amator, quique hanc ipſam ſpem vehementer conceperit, ſe nuſquam alibi quam apud inferos, eam, ut decet, conſecuturum, morienſne indignabitur, ac non *potius* libenter illuc migrabit? Ita quidem arbitrari, amice, oportet, ſi revera philoſophus ſit. Magnopere enim apud ipſum hæc opinio valebit, ſe nuſquam alibi ſapientiam pure conſecuturum, quam illic. Si autem hoc ita ſe habet, nonne, quemadmodum modo dicebam, valde præter rationem foret, ſi vir hujuſmodi mortem formidaret? Valde per Jovem, inquit.

13. Idoneum ergo, inquit, hoc argumentum eſt, eum, quem, cum moriturus ſit, indignantem videris, non eſſe philoſophum, ſed quendam corporis amantem. Idem vero ille pecuniarum honorumque amans eſt; *talis nimirum*, *ut* vel alterum horum *affectet*, vel utrumque. Omnino ita eſt, ut ais, inquit. Quæ ergo, Simmia, fortitudo nominatur, an non iis, qui ita comparati ſunt, *philoſophis ſcilicet*, maxime convenit?

Πάντως δή πω, ἔφη. Οὐκοῦν καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπιπολῆς, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ' ὃ τούτοις μόνοις πρόσηκε, τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν; Ἀνάγκη, ἔφη. Εἰ γὰρ ἐθελήσεις, ἦ δ' ὅς, σκοπῆσαι τὴν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Πῶς δή, ὦ Σώκρατες; Οἶσθα, ἦ δ' ὅς, ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγίστων κακῶν εἶναι; Καὶ μάλα, ἔφη. Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσιν. Ἔστι ταῦτα. Τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες, πλὴν οἱ φιλόσοφοι. καίτοι ἄτοπόν γε δέει τινὰ ἢ δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ μὲν οὖν. Τί δέ; οἱ κόσμιοι αὐτῶν ὡσαύτως τοῦτο [1] πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καί τοι φαμέν γέ πω ἀδύνατον εἶ-

Maxime, inquit. Nonne & temperantia, quam quidem etiam vulgus hominum temperantiam vocat, cupiditatibus *nimirum* minime percelli, ſed erga eas contemptim modeſteque ſe gerere, his duntaxat convenit, qui corpus maxime deſpiciunt, atque in philoſophia vivunt? Neceſſe eſt, inquit. Si enim conſiderare velis, inquit, fortitudinem temperantiamque cæterorum, abſurda tibi videbitur. Quanam, Socrates, ratione? Scis, inquit, cæteros omnes mortem in maximis malis ducere? Et maxime, inquit. Majorum igitur malorum metu, quicunque inter eos fortes ſunt, ſuſtinent mortem, quando ſuſtinent. Profecto. Metuendo igitur atque metu fortes ſunt omnes præter philoſophos: etſi abſurdum eſt metu vel ignavia aliquem eſſe fortem. Certe. Quid autem? qui inter eos moderati dicuntur, *inquit*, nonne eodem prorſus modo affecti ſunt, intemperantiaque quadam ſunt temperati? quanquam impoſſibile id eſſe dici-

1 Forſan πεπόνθασι, καὶ ἀκολασίᾳ *Steph.*

ναι· ἀλλ' ὅμως αὐτοῖς συμβαίνει τοῦτο ὅμοιον εἶναι τὸ πάθος, ὃ περὶ ταύτην τὴν εὐήθειαν σωφροσύνην. φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι, καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται, ὑπ' ἄλλων κρατούμενοι. καί τοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι· ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν, κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ' ὅμοιόν ἐστιν ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Εοικε γάρ. Ω μακάριε Σιμμία, μὴ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετήν, ἡδονὰς πρὸς ἡδονὰς, καὶ λύπας πρὸς λύπας, καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, καὶ μείζω σμικρὸς ἐλάττω, ὥσπερ νομίσματα· ἀλλ' [1] ἢ ἐκεῖνο μόνον ὃ νόμισμα ὀρθὸν, ἀντὶ οὗ δεῖ πάντα ταῦτα καταλλάττεσθαι, φρόνησις· καὶ τοῦτο μὲν πάντα καὶ μετὰ τοῦτο ὠνούμενά τε καὶ διαπερασόμενα τῷ ὄντι ᾖ, καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη· καὶ ξυλλή-

mus: veruntamen illis evenit affectio huic ſimilis, in ſtolida nempe iſta ipſorum temperantia. Timentes enim, ne aliis priventur voluptatibus, ipſaſque appetentes, ab aliis abſtinent, ab aliis ſuperati: etſi id intemperantiam vocant, a voluptatibus *quibuſcunque* ſuperari: veruntamen accidit iis, ut a voluptatibus ſuperati, alias ſuperent voluptates. Id autem illi ſimile eſt, quod modo dicebatur, eos *nempe* quodammodo ob intemperantiam temperantes effici. Videtur equidem. Atqui, beate Simmia, *videndum*, ne hæc haudquaquam recta ſit ad virtutem *via*, voluptates voluptatibus, dolores doloribus, & metum metu, & majus minori, tanquam nummos, commutare: ſed ille duntaxat rectus ſit nummus, quo hæc omnia oportet commutari, *ſcilicet* prudentia: & hoc quidem *pretio* omnia & cum hoc empta ac vendita revera ſint, & fortitudo & temperantia & juſtitia; ac ſumma-

1 Forſan ἢ.

ϛδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων, καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως, καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τὶς ᾖ ἡ τοιαύτη ἀρετὴ, καὶ ὡς ὄντι ἀνδραποδώδης τε, καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ· τὸ δ' ἀληθὲς ὡς ὄντι ᾖ καθαρσίς τις τῶν τοιούτων πάντων· καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρεία καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ· καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν ἥτοι καταστήσαντες, οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ ὡς ὄντι πάλαι αἰνίττεσθαι ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται· ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος, ἐκεῖσε ἀφικόμενος, μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετὰς, νάρθηκοφόροι μὲν πολλοὶ, βάκχοι δέ γε παῦροι. οὗτοι δ' εἰσὶ, κατ' ἐμὴν δόξαν, οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς. ὧν δὴ καὶ ἐγὼ ϛδ τὸ δυνατὸν ὑ-

tim vera virtus cum prudentia ſit, ſive adſint ſive abſint voluptates & timores, cæteraque ejuſmodi omnia: ſin autem a prudentia ſejungantur, atque invicem commutentur, ne adumbrata quædam imago ejuſmodi virtus ſit, ac revera ſervilis, & nihil ſani verique habeat: ipſa autem veritas ſtatus ab hiſce omnibus purus plane ſit; & temperantia & juſtitia & fortitudo & prudentia ipſa ſit quoddam purificationis *hujuſce* inſtrumentum: & ii, qui myſteria nobis conſtituerunt, minime contemnendi videantur, ſed revera hoc jam olim obſcure dixiſſe, fore ut in cœno jaceret, quicunque non initiatus neque myſteriorum particeps ad inferos migraverit; quicunque vero purgatus atque initiatus illuc acceſſerit, cum diis habitaret. Sunt enim, uti aiunt qui in myſteriis verſantur, thyrſigeri quidem multi, bacchi vero pauci. Hi vero, mea quidem ſententia, non alii ſunt quam qui recte philoſophati ſunt: quorum & ego *in numero* ut eſſem, nihil, quan-

δὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ πάμπολ τρόπῳ πεφυθυμούμην γενέσθαι. εἰ δὲ ὀρθῶς πεφυθυμήθην, καί τι ἠνύσαμεν, ἐκεῖσε ἐλθόντες, τὸ σαφὲς εἰσόμεθα, ἐὰν θεὸς ἐθέλῃ, ὀλίγον ὕστερον, ὡς ἐμοὶ δοκεῖ. ταῦτ' οὖν ἐγώ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, ἀπολογοῦμαι, ὡς εἰκότως, ὑμᾶς τε ἀπολείπων καὶ τοὺς ἐνθάδε δεσπότας, οὐ χαλεπῶς φέρω, οὐδ' ἀγανακτῶ, ἡγούμενος καὶ ἐκεῖ οὐδὲν ἧττον ἢ ἐνθάδε δεσπόταις τε ἀγαθοῖς ἐντύξεσθαι καὶ ἑταίροις. τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει· εἴ τι οὖν ὑμῖν πιθανώτερός εἰμι ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι.

ιδ'. Εἰπόντος δὴ ταῦτα Σωκράτους, ὑπολαβὼν ὁ Κέβης ἔφη, Ὦ Σώκρατες, τὰ μὲν ἄλλα δοκεῖ ἔμοιγε καλῶς λέγεσθαι· τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις, μὴ, ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, οὐδαμοῦ ἔτι ᾖ, ἀλλ' ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπόλλυται, ᾗ ἂν ὁ ἄν-

tum in me fuit, intentatum reliqui, ſed omnibus modis contendi. An vero recte contenderim, aliquidve profecerimus, quum illuc pervenerimus, certo ſciemus, ſi deus voluerit, paulo poſt, ut mihi videtur. Hæc igitur pro me affero, Simmia & Cebes, cur, cum vos eoſque, qui hic ſunt, dominos relinquam, id merito non ægre feram, neque indigner, quum id perſuaſum habeam me & illic non minus quam hic bonos dominos amicoſque inventurum. Hoc autem apud vulgus hominum minime fidem obtinet: ſi quid igitur defenſio mea vobis magis quam Athenienſium judicibus perſuaſit, bene ſe res habuerit.

14. Cum hæc Socrates dixiſſet, Cebes ſubjiciens inquit, Cætera, Socrates, mihi quidem recte dicta videntur: quæ vero de animo dicta ſunt, apud homines minime fidem obtinent, *timentes ſcilicet*, ne, cum a corpore ſeparatus ſit, nuſquam amplius exiſtat, ſed eo ipſo die, quo homo obierit,

θρωπος ἀποθάνῃ, εὐθὺς ἀπαλλαττομένῃ τοῦ σώματος, καὶ ἐκβαίνουσα, ὥσπερ πνεῦμα ἢ καπνὸς, διασκεδαθεῖσα οἰχηται διαπταμένη, καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. ἐπεὶ εἰ ἦν που αὐτὴ καθ' ἑαυτὴν συνηθροισμένη, καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν, ὧν σὺ νῦν διῆλθες, πολλὴ ἂν ἐλπὶς εἴη καὶ καλὴ, ὦ Σώκρατες, ὡς ἀληθῆ ἐστὶν ἃ σὺ λέγεις. ἀλλὰ τοῦτο δή ἴσως οὐκ ὀλίγης πειθαμουσίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου, καὶ τινα δύναμιν ἔχει καὶ φρόνησιν. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης. Ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν, εἴτε μή; Ἐγωγ' οὖν, ἔφη ὁ Κέβης, ἡδέως ἂν ἀκούσαιμι, ἥν τινα δόξαν ἔχεις περὶ αὐτῶν. Οὔκουν γ' ἂν οἶμαι, ἦ δ' ὃς ὁ Σωκράτης, εἰπεῖν τινα νῦν ἀκούσαντα, οὐδ' εἰ κωμῳδοποιὸς εἴη, ὡς ἀδολεσχῶ, καὶ οὐ περὶ πραγμάτων τὸς λόγους ποιοῦμαι. εἰ οὖν δοκεῖ, καὶ χρὴ δια-

corruptus intereat, ſtatim ſimùl ac a corpore ſejunctus ſit, atque in ipſo egreſſu, venti fumive ad inſtar, diſſipatus evolet atque evaneſcat, neque uſquam ulterius omnino aliquid ſit. Alioqui ſi ipſe in ſemet ipſum collectus alicubi extitiſſet, & ab hiſce malis, quæ tu modo narraſti, liberatus, magna, Socrates, ſpes eſſet & præclara, ea, quæ dicis, vera fore. At id forſan adhortatione probationeque non parva indiget, *ut fidem faciamus* ſupereſſe animam poſt interitum hominis, atque aliquam vim prudentiamque habere. Vera, Cebes, loqueris, inquit Socrates. Ecquid autem agendum? An vis ut de his ipſis ſermones conferamus, utrum ita eſſe conſentaneum ſit, an non? Libenter equidem, inquit Cebes, audirem, quid de rebus hiſce ſentias. Nemo, arbitror, inquit Socrates, qui hæc nunc audierit, ne ſi comicus fuerit, me nugari dixerit, ac de rebus minus convenientibus verba facere. Si ergo placet, atque hæc res diſ-

σκοπεῖσθαι, σκεψώμεθα αὐτὸ τῇδέ πῃ, εἴτε ἄρα ὂν ἆδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων, εἴτε καὶ οὔ.

ιε'. Παλαιὸς μὲν ἔστι τις ὁ λόγος οὗτος, ὃν μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ, καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται, καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι ἢ εἶεν ἂν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο, μὴ ὦσαι. καὶ τοῦτο ἱκανὸν τεκμήριον ἂν ταῦτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γίγνοιτο ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει ῥᾴδιον μαθεῖν· ἀλλὰ καὶ κατὶ ζώων πάντων καὶ φυτῶν, καὶ ξυλλήβδην ὅσαπερ ἔχει γένεσιν, ὡς ἐπὶ πάντων ἰδῶμεν. ἆρ' οὕτωσὶ γίγνεται ἅπαντα, οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι; οἷον, τὸ καλὸν

picienda eſt, id ita quodammodo conſideremus, utrum ergo apud inferos mortuorum animæ ſuperſint, necne.

15. Vetus quidem hic eſt ſermo, cujus meminimus, ſupereſſe *animas* hinc illuc profectas, rurſuſque huc reverti, & *viventes* e mortuis gigni. Quod ſi ita ſe res habet, viventes iterum e mortuis gigni, nonne neceſſe eſt ut animæ noſtræ illic ſint? Neque enim rurſus gignerentur, ſi non eſſent. Atque hoc ſatis validum argumentum erit, hæc ita eſſe, ſi revera conſtet haud aliunde viventes gigni, quam ex mortuis. Sin vero id minime ſit, alia opus erit ratione. Omnino, inquit Cebes. Neque ergo id in hominibus ſolum, inquit, ſi rem facilius velis intelligere, conſideres; ſed & in cunctis animantibus & plantis, atque ſummatim in omnibus, quæ generationem habent, videamus. Annon omnia ita gignuntur, non aliunde quam ex contrariis contraria, quibuſcunque tale aliquid contingit? quemadmodum pulchrum

τῷ αἰσχρῷ ἐναντίον πᾶν, καὶ δίκαιον ἀδίκῳ· καὶ ἄλλα δὴ μυρία οὕτως ἔχει. σκεψώμεθα [1]ἆρα ἀναγκαῖον ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι, ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον, ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον, ἔπειτα μεῖζον γίγνεσθαι; Ναί. Οὐκοῦν κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον, ὕστερον ἔλαττον γενήσεται; Ἔστιν, ἔφη, οὕτω. Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον, καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; Πάνυ γε. Τί δέ; ἄν τι χεῖρον γίγνῃ, οὐκ ἐξ ἀμείνονος; καὶ ἐὰν δικαιότερον, οὐκ ἐξ ἀδικωτέρου; Πῶς γὰρ οὔ; Ἱκανῶς οἶμαι, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα. Πάνυ γε. Τί δ' αὖ; ἔστι τι καὶ τοιόνδε ἐν αὐτοῖς, οἷον μεταξὺ ἀμφοτέρων (πάντων τῶν ἐναντίων δυοῖν ὄντοιν) δύο γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ δ' αὖ τοῦ

turpi contrarium eſt, & juſtum injuſto; & alia quidem quamplurima ita ſe habent. Conſideremus ergo, utrum neceſſe ſit, ut, cuicunque detur aliquid contrarium, non aliunde id, quam ex eo, quod ipſi contrarium eſt, gignatur. Exempli gratia, quando quid majus efficitur, neceſſe eſt ut ex minore, quod prius erat, majus deinde evadat? Ita eſt. Nonne & ſi minus *aliquid* fiat, ex majore, quod prius erat, poſtea fiet minus? Ita eſt, inquit. Quinetiam ex robuſtiore debilius, & ex tardiore velocius? Prorſus. Quid vero? ſi quid evadat deterius, nonne ex meliore? & ſi juſtius, nonne ex injuſtiore? Quidni? Id igitur ſatis exploratum habemus, omnia ita fieri, res *videlicet* contrarias ex contratriis. Prorſus. Quid vero? eſtne etiam aliquid tale in ipſis; exempli gratia inter utraque (cum omnia *nimirum* contraria duo ſint) duæ generationes, ab altero quidem in alterum, atque in

1 Forſan ἆρα εἰ.

ἑτέρᾳ πάλιν ὅπῃ τὸ ἕτερον; μείζονος γὲ φράγματος καὶ ἐλάττονος μεταξὺ, αὔξησις καὶ φθίσις· καὶ καλοῦμεν οὕτω, τὸ μὲν, αὐξάνεσθαι, τὸ δὲ, φθίνειν. Ναὶ, ἔφη. Οὐκοῦν καὶ διακρίνεσθαι καὶ συγκείνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάντα οὕτω, κἂν εἰ μὴ χρώμεθα τοῖς ὀνόμασιν ἐνιαχοῦ, ἀλλ' ἔργῳ γοῦν πανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαί τε αὐτὰ ἐξ ἀλλήλων, γένεσίν τε εἶναι ἑκατέρου εἰς ἄλληλα; Πάνυ γ', ἦ δ' ὅς.

ιϛ'. Τί οὖν, ἔφη; τῷ ζῆν ἐστί τι ἐναντίον, ὥσπερ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; Πάνυ μὲν οὖν, ἔφη. Τί; Τὸ τεθνάναι, ἔφη. Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴπερ ἐναντία ἐστὶ· καὶ αἱ γενέσεις εἰσὶν αὐτῶν μεταξὺ δύο, δυοῖν ὄντοιν; Πῶς γὰρ οὔ; Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν, ὧν νυῦν δὴ ἔλεγον, ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μὲν,

alterum viciſſim ab altero? Etenim inter majus aliquid & minus *medium obtinent* auctio & diminutio: & ita dicimus, unum quidem augeri, alterum vero diminui. Ita, inquit. Nonne *ſimiliter* diſcerni atque confundi, frigeſcere atque incaleſcere, omniaque eodem pacto, etiamſi nominibus aliquando non utamur, re tamen ipſa ubique ita ſe habere neceſſe eſt, gignique iſta, alia invicem ex aliis, generationemq; eſſe utriuſque viciſſim in alterum? Omnino quidem, inquit.

16. Quid ergo, inquit? eſtne aliquid ipſi vivere contrarium, quemadmodum dormire ipſi vigilare *contrarium eſt?* Eſt omnino, inquit. Quidnam? Mori, inquit. An non ex ſe invicem hæc fiunt, ſiquidem contraria ſunt; cumque duo ſint, duæ quoque inter hæc generationes ſunt? Quidni? Alteram ergo conjugationem eorum, quæ modo dicebam, ego tibi dicam, inquit Socrates, ipſamque & ſuas generationes: tu vero mihi alteram. Dico autem, eſſe alterum qui-

καθεύδειν, τὸ δὲ, ἐγρηγορέναι· καὶ ἐκ τοῦ καθεύδειν ὅ ἐγρηγορέναι γίγνεσθαι, καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύδειν· καὶ τὰς ἀφύσεις αὐτοῖν, τὴν μὲν, καταδαρθάνειν εἶναι, τὴν δὲ, ἀνεγείρεσθαι. ἱκανῶς σοι ἔφην, ἢ οὔ; Πάνυ μὲν οὖν. Λέγε δὴ καὶ σύ μοι, ἔφη, ὅτι περὶ ζωῆς καὶ θανάτου. οὐκ ἐναντίον μὲν φὴς εἶναι ζῆν τὸ τεθνάναι εἶναι; Ἔγωγε. Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; Ναί. Ἐξ ὧν γε ζῶντος τί τὸ γιγνόμενον; Τὸ τεθνηκός, ἔφη. Τί δὲ, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν ὅτι τὸ ζῶν. Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται. Φαίνεται, ἔφη. Εἰσὶν ἄρα, ἔφη, αἱ ψυχαὶ ἡμῶν ἐν ᾅδου. Εοικεν. Οὐκοῦν καὶ ταῖν θατέροιν ταῖν περὶ ταῦτα ἓν γ' ἕτερον σαφὴς οὖσα τυγχάνει; ὃ γὰρ ἀποθνήσκειν σαφὲς δή που, ἢ οὔ; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; οὐκ ἀνταποδώσομεν τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν

dem dormire, alterum autem evigilare; atque ex ſomno vigiliam fieri, & ex vigilia ſomnum: eorumque generationes eſſe, hanc quidem obſopiri, illam vero expergiſci. Satis hoc tibi explicui, necne? Satis omnino. Dic ergo & tu mihi quoque ſimiliter de vita atque morte. Annon ipſum mori vivere contrarium eſſe dicis? Equidem. Et ex ſe invicem gigni? Ita. Ex vivente ergo quidnam fit? Mortuum, inquit. Quid autem, inquit *Socrates*, ex mortuo? Neceſſe eſt, inquit, confiteri ipſum vivens *fieri*. Ex mortuis igitur, Cebes, viventia fiunt atque viventes. Liquet, inquit. Sunt igitur, inquit, apud inferos animæ noſtræ. Videtur. Nonne ergo & generationum, quæ circa hæc verſantur, altera quidem manifeſta eſt? ipſum mori enim manifeſtum eſt, nonne? Ita prorſus, inquit. Quidnam igitur faciemus? Non reddemus viciſſim generationem contrariam, ſed hac in re manca erit natura? An vero neceſſe eſt reddere ipſi mori

ἐναντίαν τινὰ γένεσιν; Πάντως που, ἔφη. Τίνα ταύτην; Τὸ ἀναβιώσκεσθαι. Οὐκοῦν, ἦ δ' ὅς, εἴπερ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη, τὸ ἀναβιώσκεσθαι; Πάνυ γε. Ὁμολογεῖται ἄρα ἡμῖν καὶ ταύτῃ, τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι, ὥσθ' ἥττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων. τοῦτο δὲ ὄντος, ἱκανόν που τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν.

ιζ. Ἰδὲ τοίνυν, ἔφη, ὦ Κέβης, ὅτι οὐδ' ἀδίκως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ. εἰ γὰρ μὴ ἀεὶ ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις γιγνόμενα, ὥσπερεὶ κύκλῳ περιΐοντα, ἀλλ' εὐθεῖά τις εἴη ἡ γένεσις ἐκ τοῦ ἑτέρου μόνον εἰς τὸ καταντικρὺ, καὶ μὴ ἀνακάμπτοι πάλιν ὅπῃ τὸ ἕτερον, μηδὲ καμπὴν ποιοῖτο· οἶσθ' ὅτι πάντα τελευτῶντα τὸ αὐτὸ σχῆμα ἂν σχοίη,

contrariam quandam generationem? Omnino, inquit. Quam vero hanc? Ipsum reviviscere. Nonne, inquit, si datur reviviscere, hæc ex mortuis ad viventes erit generatio, ipsum *nempe* reviviscere? Omnino quidem. Convenit ergo nobis etiam hac ratione, viventes ex mortuis fieri, nihilo minus quam mortuos ex viventibus: hoc autem cum ita sit, idoneum argumentum esse, animas mortuorum necessario alicubi existere, unde iterum gignantur. Videtur mihi, Socrates, inquit, hoc ex iis, quæ concessa sunt, necessario sequi.

17. Hoc ergo, inquit, Cebes, animadverte, nos haud injuria hæc, ut mihi videtur, concessisse. Nisi enim alia semper, cum gignerentur, aliorum in locum mutuo sufficerentur, quasi in orbem remeantia, sed recta quædam foret generatio ex altero duntaxat in ejus oppositum, neque rursus in alterum reflecteretur, neque reversionem faceret; scis omnia eandem tandem formam subitura,

καὶ τὸ αὐτὸ πάθος ἂν πάθοι, καὶ παύσαιτο γιγνόμενα. Πῶς λέγεις; ἔφη. Οὐδὲν χαλεπόν, ἦ δ' ὅς, ἐννοῆσαι ὃ λέγω. Ἀλλ' οἷον εἰ τὸ καταδαρθάνειν μὲν εἴη, τὸ δ' ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη, γιγνόμενον ἐκ τοῦ καθεύδοντος, οἶσθ' ὅτι τελευτῶντα πάντα λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε, καὶ οὐδαμοῦ ἂν φαίνοιτο, διὰ τὸ καὶ τὰ ἄλλα πάντα ταυτὸν ἐκείνῳ πεπονθέναι, καθεύδειν. κἂν εἰ συγκέοιτο μὲν πάντα, διακέοιτο δὲ μή, ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γενοῖτο εἴη, ὁμοῦ πάντα χρήματα. ὡσαύτως δὲ, ὦ φίλε Κέβης, καὶ εἰ ἀποθνήσκοι μὲν πάντα, ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ ἢ ἀποθάνοι, μένοι ἂν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα, καὶ μὴ πάλιν ἀναβιώσκοιτο· ἆρ' οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα τεθνάναι, καὶ μηδὲν ζῆν; εἰ γὰρ ἐκ μὲν τῶν ἄλλων τὰ ζῶντα γίγνοιτο, τὰ δὲ ζῶντα θνήσκοι, τίς μηχανὴ μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς ὃ τεθνάναι; Οὐδὲ μία

eodemque modo ſeſe habitura, & *ulterius* gigni deſitura. Quonam pacto, inquit, id dicis? Haudquaquam intellectu difficile eſt, inquit, quod loquor; at perinde ac ſi obſopiri quidem daretur, expergiſci vero viciſſim non daretur, ex dormiente natum, ſcis omnia tandem eo deventura, ut quæ de Endymione dicuntur, nugæ eſſe viderentur, neque uſpiam eminerent, eo quod cæteris quoque omnibus idem, quod illi, contingeret, ut ſomno *nempe ſimiliter* opprimerentur. Sin vero confunderentur quidem omnia, nunquam vero diſcernerentur, Anaxagoræ illud brevi eveniret, omnes *nempe* res ſimul eſſe. Eadem ratione, amice Cebes, ſi quæcunque vitam acceperant, morerentur, & poſtquam mortua eſſent, in forma illa mortua permanerent, neque iterum reviviſcerent; an non neceſſarium omnino eſſet cuncta demum interiiſſe, nihilque vivere? Nam ſi ex aliis quidem viventia fierent, viventia vero morerentur, quomodo fieri poſſet, quin omnia morte *demum* abſumerentur? Nullo

μοι δοκῇ, ἔφη ὁ Κέβης, ὦ Σώκρατες· ἀλλά μοι δοκεῖς παντάπασιν ἀληθῆ λέγειν. Ἔστι γάρ, ἔφη, ὦ Κέβης, ὡς ἐμοὶ δοκεῖ, παντὸς μᾶλλον οὕτω· καὶ ἡμεῖς τὰ αὐτὰ ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν· ἀλλ' ἔστι καὶ τῷ ὄντι καὶ ὃ ἀναβίωσκεσθαι, καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίγνεσθαι, καὶ τὰς τῶν τεθνεώτων ψυχὰς εἶναι· καὶ τῶν μὲν ἀγαθῶν ἄμεινον εἶναι, τῶν δὲ κακῶν, κάκιον.

ιη'. Καὶ μήν, ἔφη ὁ Κέβης ὑπολαβών, καὶ κατ' ἐκεῖνόν γε τὸν λόγον, ὦ Σώκρατες, (εἰ ἀληθής ἐστιν) ὃν σὺ εἴωθας πάμπολὺ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτο ἀνάγκη που ἡμᾶς ἐν τῳ πρότερῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνησκόμεθα. τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψυχὴ, πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι. ὥστε καὶ ταύτῃ ἀθάνατόν τι ἔοικεν ἡ ψυχὴ εἶναι. Ἀλλ', ὦ Κέβης, ἔφη ὁ Σιμμίας ὑπολαβών, ποῖαί εἰσι τούτων αἱ ἀποδείξεις, ὑπόμνησόν με. οὐ γὰρ σφόδρα ἐν τῷ παρόντι μέμνημαι.

modo, Socrates, inquit Cebes: ſed mihi vera omnino loqui videris. Eſt certe, Cebes, inquit, maxime omnium ita, ut mihi videtur: neque nos hæc ipſa decepti confitemur; ſed & revera reviviſcere datur, atque ex mortuis viventes gigni, mortuorumque animas ſupereſſe; atque bonis quidem melius fore, malis vero pejus.

18. Atqui & ſecundum ſermonem illum, Socrates, inquit, Cebes eum excipiens, quem frequenter uſurpare ſolitus es, (modo verus ſit) nobis *nempe* diſcere nihil aliud eſſe quam recordari, & ſecundum hoc, *inquam*, neceſſe eſt, nos in ſuperiori quodam tempore ea, quorum nunc recordamur, didiciſſe. Id vero fieri non poſſet, niſi anima noſtra alicubi prius extitiſſet, quam in hanc ſpeciem humanam deveniret. Quamobrem & hac ratione anima immortale quiddam eſſe videtur. At quales hujus rei demonſtrationes, Cebes, ſubjecit Simmias, habeas, in memoriam mihi revoca. Non enim ſatis in præſentia memini.

Ενὶ μὲν λόγῳ, ἔφη ὁ Κέβης, καλλίσῳ· ὅτι ἐρωτώμενοι οἱ ἄνθρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ἃ ἔχει. καί τοι, εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη οὖσα, καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ' ἦσαν τοῦτο ποιεῖν. ἔπειτα, ἐάν τις ἐπὶ τὰ διαγεγραμμένα ἄγῃ, ἢ ἄλλο τι τῶν τοιούτων, ἐνταῦθα σαφέστατα κατηγορεῖ ὅτι τοῦτο οὕτως ἔχει. Εἰ δὲ μὴ ταύτῃ γε, ἔφη, πείθῃ, ὦ Σιμμία, ὁ Σωκράτης, σκέψαι ἐὰν τῇδέ πῃ σοὶ σκοπουμένῳ συνδόξῃ. ἀπιστεῖς γὰρ δή, πῶς ἡ καλουμένη μάθησις ἀνάμνησίς ἐστιν. Ἀπιστῶ μὲν ἔγωγ', ἦ δ' ὃς ὁ Σιμμίας, ὥστε αὐτὸ ἂ τοῦτο, ἔφη, δέομαι μαθεῖν, περὶ οὗ ὁ λόγος, ἀναμνησθῆναι· καὶ σχεδόν γε ἐξ ὧν Κέβης ἐπεχείρησε λέγειν, ἤδη μέμνημαι καὶ πείθομαι. οὐδὲν μὲν ἂν ἧττον ἀκούοιμι νῦν πῃ σὺ ἐπεχείρησας λέγειν. Τῇδε ἔγωγε, ἦ δ' ὅς. ὁμολογοῦμεν γάρ δή που, εἴπις τι ἀναμνησθήσεται, δεῖν αὐτὸν πού ποτε πρότερόν ποτε ἐπίστασθαι. Πάνυ

Una quidem ratione eaque pulcherrima *demonſtratur*, inquit Cebes; quod homines, cum interrogentur, ſi quis eos recte interroget, ipſi omnia, quemadmodum ſe habent, reſpondent. Atqui nunquam id facere poſſent, niſi ineſſet ipſis ſcientia rectaque ratio. Deinde, ſi quis eos ad diagrammata vel aliud hujuſmodi aliquid deduxerit, ibi manifeſtiſſime comperit id ita ſe habere. Quod ſi hoc modo, inquit Socrates, id tibi, Simmia, non probatur, perſpice an tibi rem ita conſideranti idem, *quod & nobis*, videatur. Tu enim minime credis, quomodo quod diſcere vocatur recordari ſit. Haud equidem fidem derogo, inquit Simmias; illud vero ipſum, de quo ſermo eſt, velim diſcere, *nimirum quid ſit* recordari: ac ferme ex his, quæ Cebes dicere aggreſſus eſt, jam memini & fidem habeo. Nihilo minus tamen nunc audire velim, qua ratione tu id probare inſtituiſti. Hac equidem, inquit ille: confitemur enim, ſi quis rei alicujus recordetur, oportere ut ipſe eam prius aliquando ſciverit. Pror-

γε, ἔφη. Ἆρ' οὖν καὶ τόδε ὁμολογοῦμεν, ὅταν ἐπιστήμη παραγίγνηται τρόπῳ τοιούτῳ, ἀνάμνησιν εἶναι; λέγω δὲ τινὰ τρόπον τοῦτον· ἐάν τις τι ἕτερον ἢ ἰδὼν ἢ ἀκούσας ἤ τινα ἄλλην αἴσθησιν λαβὼν, μὴ μόνον ἐκεῖνο γνῷ, ἀλλὰ καὶ ἕτερον ἐννοήσῃ, οὗ μὴ ἡ αὐτὴ ἐπιστήμη, ἀλλ' ἄλλη, ἆρα οὐχὶ τοῦτο δικαίως λέγομεν, ὅτι ἀνεμνήσθη οὗ τὴν ἔννοιαν ἔλαβεν; Πῶς λέγεις; Οἷον τὰ τοιάδε· ἄλλη τις ἐπιστήμη ἀνθρώπου καὶ λύρας. Πῶς γὰρ οὔ; Οὐκοῦν οἶσθα ὅτι οἱ ἐρασταί, ὅταν ἴδωσι λύραν ἢ ἱμάτιον ἤ τι ἄλλο, οἷς τὰ παιδικὰ αὐτῶν εἴωθε χρῆσθαι, πάσχουσι τοῦτο· ἔγνωσάν τε τὴν λύραν, καὶ ἐν τῇ διανοίᾳ ἔλαβον τὸ εἶδος ὃ παιδός, οὗ ἦν ἡ λύρα; τοῦτο δ' ἔστιν ἀνάμνησις. ὥσπερ γε καὶ Σιμμίαν τις ἰδὼν, πολλάκις Κέβητος ἀνεμνήσθη· καὶ ἄλλα τοιαῦτα μυρία ἂν εἴη. Μυρία μέντοι νὴ Δί', ἔφη ὁ Σιμμίας. Οὐκοῦν, ἦ δ' ὅς, τὸ τοιοῦτον ἀνάμνησίς τις ἔστι; μάλιστα μέντοι,

sus, inquit. Num ergo & hoc confitemur, *inquit*, quoties ſcientia hoc modo provenit, recordationem eam eſſe? Dico autem quadam hujuſmodi ratione: ſi quis, cum aliud quiddam viderit vel audiverit vel alio quovis ſenſu perceperit, non ſolum id ipſum norit, verum etiam aliud agnoverit, cujus non una eademque, ſed alia ſit ſcientia, nonne hoc merito dicimus, hunc eam rem recordari, cujus notionem *ita* acceperit? Quonam pacto id dicis? Hoc, *inquit Socrates:* exempli gratia, alia quodammodo hominis ſcientia eſt, alia lyræ. Quidni? Nonne noſti hoc amantibus uſu venire, cum lyram aut veſtem aut aliud quidpiam, quo eorum pueri adamati uti conſueverunt, conſpexerint; ut & lyram agnoſcant, & ſimul in animo pueri, cujus erat lyra, ſpeciem habeant? Hoc vero eſt recordatio. Quemadmodum quis, cum Simmiam viderit, ſæpe Cebetis recordatur; & alia hujuſmodi infinita quodammodo contingant. Infinita per Jovem, inquit Simmias. An non igitur, inquit, hujuſmodi aliquid recordatio quædam eſt? maxime vero,

ὅταν τις τοῦτο πάθῃ περὶ ἐκεῖνα, ἃ ἔστω ποτὲ χρόνου καὶ τοῦ μὴ ὑπομνῆσαι ἤδη ἐπελέλησο; Πάνυ μὲν οὖν, ἔφη. Τί δέ, ἦ δ' ὅς; ἔστιν ἵππον γεγραμμένον ἰδόντα, καὶ λύραν γεγραμμένην, ἀνθρώπου ἀναμνησθῆναι; καὶ Σιμμίαν ἰδόντα γεγραμμένον Κέβητος ἀναμνησθῆναι; Πάνυ γε. Οὐκοῦν καὶ Σιμμίαν ἰδόντα γεγραμμένον, αὐτῷ Σιμμίᾳ ἀναμνησθῆναι; Ἔστι μέντοι, ἔφη.

ιθ'. Ἆρ' οὖν ἅπαντα ταῦτα συμβαίνει τὴν ἀνάμνησιν εἶναι, τὰ μὲν, ἀφ' ὁμοίων, τὰ δὲ, καὶ ἀπ' ἀνομοίων; Συμβαίνει. Ἀλλ' ὅταν γε ἀπὸ τῶν ὁμοίων ἀναμιμνήσκηταί τις τι, ἆρ' οὐκ ἀναγκαῖον τόδε προσπάσχειν, ἐννοεῖν εἴτε τι ἐλλείπει τοῦτο τῆς τὴν ὁμοιότητα, εἴτε μὴ, ἐκείνῳ, ὃ ἀνεμνήσθη; Ἀνάγκη, ἔφη. Σκόπει δή, ἦ δ' ὅς, εἰ ταῦτα ὧδε ἔχει. Φαμέν που τὶ εἶναι ἴσον; οὐ ξύλον ξύλῳ λέγω, οὐδὲ λίθον λίθῳ, οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ παρὰ πάντα ταῦτα ἕτερόν τι

cum id in illis accidat rebus, quarum aliquis temporis longinquitate, & quod eas inſpicere deſierit, jam oblitus eſſet? Ita certe, inquit *Simmias*. Quid vero, inquit ille? contingitne, ut qui equum pictum viderit, pictamque lyram, reminiſcatur hominis? & cum pictum aſpexerit Simmiam, Cebetis recordetur? Omnino quidem. Nonne *evenit* etiam, ut qui Simmiam pictum viderit, ipſius quoque Simmiæ recordetur? Evenit certe, inquit.

19. An non ergo in hiſce omnibus contingit, ut recordatio partim e rebus ſimilibus, & partim etiam e diſſimilibus proveniat? Contingit. Verum quoties propter ſimilia quiſpiam rei alicujus reminiſcatur, an non neceſſe eſt id inſuper ei evenire, ut *nimirum* agnoſcat utrum deficiat hoc quoad ſimilitudinem, necne, ab illo, cujus reminiſcatur? Neceſſe eſt, inquit. Perſpice igitur, inquit ille, utrum hæc ita ſe habeant. An aliquid æquale eſſe dicimus? Non dico lignum ligno, neque lapidem lapidi, neque aliud hujuſmodi quicquam, ſed præter hæc omnia aliud quid-

αὐτὸ τὸ ἴσον φῶμέν τι εἶναι, ἢ μηδέν; Φῶμεν τοίνυν νὴ Δί', ἔφη ὁ Σιμμίας, θαυμαστῶς γε. Η καὶ ὁπόταμεθα αὐτὸ ὅ ἐστιν ἴσον; Πάνυ γε, ἦ δ' ὅς. Πόθεν λαβόντες αὐτοῦ τὴν ἐπιστήμην; ἆρ' οὐκ ἐξ ὧν νυῦ δὴ ἐλέγομεν, ἢ ξύλα ἢ λίθους ἢ ἄλλ' ἄττα ἰδόντες τὰ ἴσα, ἐκ τούτων ἐκεῖνο ἐνενοήσαμεν, ἕτερον ὂν τούτων; ἢ οὐχ ἕτερόν σοι φαίνεται; σκόπει δὲ καὶ τῇδε. ἆρ' οὐ λίθοι μὲν ἴσοι, καὶ ξύλα ἐνίοτε τὰ αὐτὰ ὄντα, τοτὲ μὲν ἴσα φαίνεται, τοτὲ δ' οὔ; Πάνυ μὲν οὖν. Τί δέ; αὐτὰ τὰ ἴσα ἔστιν ὅτε ἄνισά σοι ἐφάνη, ἢ ἡ ἰσότης, ἀνισότης; Οὐδεπώποτέ γε, ὦ Σώκρατες. Οὐ ταυτὸν ἄρ' ἐστίν, ἦ δ' ὅς, ταῦτά τε τὰ ἴσα, καὶ αὐτὸ τὸ ἴσον. Οὐδαμῶς μοι φαίνεται, ὦ Σώκρατες. Αλλὰ μὴν ἐκ τούτων γ', ἔφη, τῶν ἴσων ἑτέρων ὄντων ἐκείνου τοῦ ἴσου, ὅμως αὐτοῦ τοῦ ἐπιστήμην ἐννενόηκάς τε καὶ εἴληφας. Αληθέστατα, ἔφη, λέγεις. Οὐκοῦν ἢ ὁμοίου ὄντος τούτοις,

dam ipſum æquale dicamuſne aliquid eſſe, an nihil? Dicamus *aliquid eſſe* per Jovem, inquit Simmias, & quidem mirum in modum *præ cæteris rebus eſſe*. An & ſcimus ipſum quod eſt æquale? Omnino quidem, inquit ille. Undenam ſcientiam ejus accepimus? An non ex iis, quæ modo diximus, *videlicet* conſpicati vel ligna vel ſaxa vel alia quædam æqualia, ex hiſce illud agnovimus, quod ab iis *tamen* aliud eſt? an non vero aliud tibi videtur? Conſidera vero & hoc pacto. Nonne ſaxa quidem æqualia, & ligna nonnunquam eadem, alias æqualia, alias inæqualia nobis apparent? Prorſus. Quid autem? ipſa æqualia unquamne tibi inæqualia videbantur, vel æqualitas, inæqualitas? Nunquam, Socrates. Non ergo idem ſunt, inquit, hæc æqualia, atque ipſum æquale. Nullo modo *idem* mihi, Socrates, apparent. Atqui ex hiſce æqualibus, alia licet ſint quam ipſum illud æquale, ipſius tamen ſcientiam deprompſiſti atque percepiſti. Veriſſima, inquit, dicis. An non id, ſive ſimile *ipſum* ſit illis,

ἢ ἀνομοίᾳ; Πάνυ γε. Διαφέρῃ δέ γ', ἢ δ' ὅς, οὐδέν. ἕως γὰρ ἂν ἄλλο ἰδὼν, ἀπὸ ταύτης τῆς ὄψεως ἄλλο ἐννοήσῃς, εἴτε ἀνόμοιον, εἴτε ὅμοιον ἀναγκαῖον, ἔφη, αὐτὸ ἀνάμνησιν γεγονέναι. Πάνυ μὲν οὖν. Τί δαὶ τόδ', ἢ δ' ὅς; ἢ πάσχομέν τι τοιοῦτον περὶ τὰ ἐν τοῖς ξύλοις τε καὶ οἷς νῦν δὴ ἐλέγομεν, ἐν τοῖς ἴσοις; ἆρα φαίνεταί ἡμῖν οὕτως ἴσα εἶναι, ὥσπερ αὐτὸ ὃ ἔστιν ἴσον; ἢ ἐνδεῖ τι ἐκείνου, τῷ μὴ τοιοῦτον εἶναι, οἷον τὸ ἴσον, ἢ οὐδέν; Πολύγε, ἔφη, ἐνδεῖ. Οὐκοῦν ὁμολογοῦμεν, ὅταν τις τι ἰδὼν, ἐννοήσῃ ὅτι βούλεται μέν, τοῦτο δὲ νῦν ἐγὼ ὁρῶ, εἶναι οἷον ἄλλο τι τῶν ὄντων· ἐνδεῖ δὲ, καὶ οὐ δύναται τοιοῦτον [1] εἶναι ἴσον, οἷον ἐκεῖνο, ἀλλ' ἔστι φαυλότερον· ἀναγκαῖόν που τὸν τοῦτο ἐννοοῦντα, τυχεῖν προειδότα ἐκεῖνο, ᾧ φησὶν αὐτὸ πεπονθέναι μέν, ἐνδεεστέρως δὲ ἔχειν; Ἀνάγκη. Τί οὖν; τὸ τοιοῦτον πεπόνθαμεν καὶ

sive diſſimile? Omnino. Nihil ſane, inquit, refert. Quatenus enim aliud conſpicatus, ab hoc conſpectu aliud agnoveris, ſive ſimile, ſive diſſimile, neceſſe eſt, inquit, illud ipſum recordationem eſſe. Et maxime quidem. Quid vero de hoc *ſtatuis*, inquit ille? an hujuſmodi aliquid nobis contingit in *æqualitate* eorum, de quibus modo loquebamur, lignorum & *aliorum* æqualium? videnturne ita æqualia eſſe, ut ipſum æquale? an deeſt aliquid, quo minus talia ſint, quale eſt æquale ipſum, an nihil? Permultum certe deeſt, inquit. Nonne confitemur, quando quis aliquid intuitus, agnoverit appetere quidem id, *exempli cauſa*, hoc quod ego nunc video, eſſe *tale*, quale quiddam aliud ex iis, quæ ſunt; verum deficere, neque poſſe eſſe tale, quale illud eſt, ſed ei cedere; neceſſe eſſe eum, qui id agnoverit, ante cognoviſſe illud, cui hoc ſimile quidem eſſe dicit, a perfecta tamen ipſius ſimilitudine abeſſe? Neceſſe eſt. Quid ergo? talene aliquid nobis quo-

1 Forſan εἶναι, οἷόν.

ἡμεῖς, ἢ δ', ὃς τε τὰ ἴσα ἢ αὐτὸ τὸ ἴσον; Παντάπασί γε. Ἀναγκαῖον ἄρα ἡμᾶς τοιοῦδέναι τὸ ἴσον οἷόν ἐστι καὶ ἐκεῖνα τὰ ὄντα, ὅτε τὸ τοιοῦτον ἰδόντες τὰ ἴσα, ἐνενοήσαμεν ὅτι ὀρέγεται μὲν πάντα ταῦτ' εἶναι οἷον τὸ ἴσον, ἔχει δὲ ἐνδεέστερος. Ἐστι ταῦτα. Ἀλλὰ μὴν καὶ τόδε ὡμολογοῦμεν, μὴ ἄλλοθεν αὐτὸ ἐννενοηκέναι, μηδὲ δυνατὸν εἶναι ἐννοῆσαι, ἀλλ' ἢ ἐκ τοῦ ἰδεῖν ἢ ἅψασθαι ἢ ἔκ τινος ἄλλης τῶν αἰσθήσεων. ταὐτὸν δὲ πάντα ταῦτα λέγω. Ταὐτὸν γάρ ἐστιν, ὦ Σώκρατες, τοῖς γε ὑπὲρ βούλεται δηλῶσαι ὁ λόγος. Ἀλλὰ μὲν δὴ ἔκ γε τῶν αἰσθήσεων δεῖ ἐννοῆσαι ὅτι πάντα τὰ ἐν ταῖς αἰσθήσεσιν ἐκείνου τοῦ [1]ὀρέγεται τοῦτ' ὄ ἐστιν ἴσον, καὶ αὐτῶν ἐνδεέστερά ἐστιν. ἢ πῶς λέγωμεν; Οὕτω. Πρὸ γὰρ τοῦ ἄρξασθαι ἡμᾶς ὁρᾶν ἢ ἀκούειν καὶ τἆλλα αἰσθάνεσθαι, τυχεῖν ἔδει που εἰληφότας ὁπόσην μὴν αὐτοῦ τοῦ ἴσου ὅ, τι ἐστίν, εἰ ἐμέλλομεν τὰ ἐκ τῶν αἰσθή-

que contingit, necne, in æqualium ipſiuſque æqualis *conſideratione*? Omnino quidem. Neceſſe eſt ergo nos æqualis ipſius ſcientiam ante illud tempus habuiſſe, in quo primum viſis æqualibus, agnovimus appetere quidem hæc omnia *talia* evadere, quale eſt ipſum æquale, ad plenam tamen ipſius ſimilitudinem minime pervenire. Ita eſt. Atqui & hoc confitemur, nos neque aliunde id agnoviſſe, neque agnoſcere poſſe, quam vel viſu vel tactu vel alio quodam ſenſu. Similiter enim de his omnibus ſtatuo. Similiter, Socrates, ad id ſe habent, quod vult ſermo *noſter*, oſtendendum. Atqui a ſenſibus quidem id agnoviſſe oportet, omnia *æqualia*, quæ ſenſibus ſubjecta ſunt, tum illud eſſe appetere, tum a perfecta ipſius ſimilitudine abeſſe: vel quomodo *rem ſe habere* dicamus? Ita. Ante ergo quam inceperimus videre aut audire aliiſque uti ſenſibus, oportebat nos æqualis ipſius ſcientiam accepiſſe, *videlicet* quid ipſum ſit, ſi modo æqualia hæc,

1 Forſan ὀρέγεται, ἢ αὐτῶν.

στεων ἴσα ἐκεῖσε ἀνοίσειν· ὅπη προθυμεῖται μὲ πάντα τὰ τοιαῦτα εἶναι οἷον ἐκεῖνο, ἔστι δὲ αὐτῶ φαυλότερα. Ἀνάγκη ὀκ τῶν προειρημένων, ὦ Σώκρατες. Οὐκοῦν γενόμενοι εὐθὺς ἑωρῶμέν τε καὶ ἠκούομεν καὶ τὰς ἄλλας αἰσθήσεις εἴχομεν; Πάνυ γε. Ἐδει δέ γε, φαμέν, πρὸ τούτων τινὼ ὃ ἴσου ἐπιστήμην εἰληφέναι. Ναί. Πεῖν ἄρα, ὡς ἔοικεν, ἀνάγκη ἡμῖν αὐτὴν εἰληφέναι. Ἔοικεν.

κ'. Οὐκοῦν εἰ μὲν λαβόντες αὐτινὼ πρὸ τοῦ γενέσθαι, ἔχοντες ἐγενόμεθα, ἠπιστάμεθα καὶ πρὶν γενέσθαι καὶ εὐθὺς γενόμενοι, οὐ μόνον τὸ ἴσον καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλὰ καὶ ξύμπαντα τὰ τοιαῦτα. οὐ γὰρ περὶ τοῦ ἴσου νῦν ὁ λόγος ἡμῖν μᾶλλόν τι, ἢ καὶ περὶ αὐτοῦ τοῦ καλοῦ καὶ αὐτοῦ τοῦ ἀγαθοῦ καὶ δικαίου καὶ ὁσίου καὶ, ὅπερ λέγω, περὶ ἁπάντων, οἷς ἐπισφραγιζόμεθα τοῦτο, ὃ ἔστι, καὶ ἐν ταῖς ἐρωτήσεσιν ἐρωτῶντες, καὶ ἐν ταῖς ἀποκρίσεσιν ἀποκρινόμε-

quæ ſenſibus ſubjacent, ad ipſum *adeo* relaturi eſſemus, *ut ſtatueremus* conari quidem hæc omnia talia, quale ipſum eſt, evadere, veruntamen ab eo deficere. Neceſſario ex ſuperioribus id, Socrates, ſequitur. An non ſtatim, *inquit*, poſtquam nati eſſemus, vidimus atque audivimus alioſque ſenſus habuimus? Omnino. Oportuit autem, ut diximus, ante hæc ipſius æqualis ſcientiam habuiſſe. Etiam. Neceſſe ergo eſt, ut videtur, nos, antequam naſceremur, eam percepiſſe. Videtur.

20. Si ergo ea, antequam naſceremur, accepta, ipſam habentes nati fuimus, ſcivimus & ante ortum atque ſtatim nati, non ſolum ipſum æquale majuſque & minus, verum etiam ejuſdem generis omnia. Non enim de æquali magis nunc nobis eſt ſermo, quam de ipſo pulchro, de ipſo bono, de ipſo juſto, atque ſancto, &, ut dico, de omnibus, quæ *proprie* hoc *nomine*, Ejus quod vere eſt, conſignamus, & in interrogationibus *noſtris*, dum interrogamus, & in reſponſionibus, dum reſponde-

νοι. ἆρ' ἀναγκαῖον ἡμῖν εἶναι, τούτων ἀπόντων τὰς ἐπιστήμας πρὸ τοῦ γενέσθαι εἰληφέναι. Ἐστι ταῦτα. Καὶ εἰ μέν γε λαβόντες μὴ ἑκάστοτε ἐπιλελήσμεθα, εἰδότες ἀεὶ γίγνεσθαι, καὶ ἀεὶ ἅμα βίου εἰδέναι. τὸ γὰρ εἰδέναι τοῦτ' ἔστι, λαβόντα τοῦ ἐπιστήμου ἔχειν, καὶ μὴ ἀπολωλεκέναι. ἢ οὐ τοῦτο λήθην λέγομεν, ἐπιστήμης ἀποβολήν; Πάνυ μὲν οὖν, ἔφη, ὦ Σώκρατες. Εἰ δέ γε, οἶμαι, λαβόντες πρὶν γεγόνθαι, γιγόμενοι ἀπωλέσαμεν, ὕστερον δὲ ταῖς αἰσθήσεσι χρώμενοι περὶ αὐτά, ἐκείνας ἀναλαμβάνομεν τὰς ἐπιστήμας, ἃς ποτε καὶ πρὶν εἴχομεν, ἆρ' ἂν καλοῦμεν μανθάνειν, οἰκείαν ἂν ἐπιστήμην ἀναλαμβάνειν εἴη; τοῦτο δέ που ἀνάμνησιν λέγοντες, ὀρθῶς ἂν λέγοιμεν; Πάνυ γε. Δυνατὸν γὰρ δή τοῦτό γ' ἐφάνη, αἰσθόμενόν τι, ἢ ἰδόντα ἢ ἀκούσαντα ἤ τινα ἄλλην αἴσθησιν λαβόντα, ἕτερόν τι ἀπὸ τούτου ἐννοῆσαι, ὃ ἐπελέλητο, ᾧ τοῦτο ἐπλησίαζεν, ἀνόμοιον ὄν, ἢ ᾧ ὅ-

mus: adeo ut neceſſe ſit nos, antequam naſceremur, horum omnium ſcientias habuiſſe. Ita eſt. Ac ſi acceptis *hiſce ſcientiis*, non earum prorſus obliti eſſemus, *oporteret* & ſcientes ſemper naſci, & eas ſemper per *omnem* vitam ſcire. Nam id ſcire eſt, acceptam alicujus rei ſcientiam retinere, nec amiſiſſe. An non hoc oblivionem nuncupamur, ſcientiæ *videlicet* jacturam? Ita prorſus, inquit, Socrates. Sin autem, opinor, acceptam ante ortum ſcientiam, dum naſcimur, amiſimus, deinde vero uſi ſenſibus circa ipſa, ſcientias illas, quas & ante aliquando habueramus, recipimus, nonne quod diſcere appellamus, erit ſcientiam propriam recuperare? id vero reminiſci nuncupantes, recte nuncupaverimus? Omnino. Fieri enim id poſſe apparuit, ut cum quis aliquid ſenſerit, vel videndo vel audiendo vel alio quopiam ſenſu percipiendo, aliud quiddam ex hoc agnoſcat, cujus erat oblitus, cui quidem hoc, ſeu diſſimile, ſive ſimile eſſet, propin-

μοιον. ὥστε, ὅπερ λέγω, δυοῖν θάτερον· ἤτοι ἐπιστάμενοί γε αὐτὰ γεγόναμεν, καὶ ἐπιστάμεθα διὰ βίου πάντες· ἢ ὕστερον οὓς φαμὲν μανθάνειν, οὐδὲν ἄλλο ἢ ἀναμιμνήσκονται ἔτι· καὶ ἡ μάθησις, ἀνάμνησις ἂν εἴη. Καὶ μάλα δὴ ὅπως ἔχει, ὦ Σώκρατες.

κα'. Πότερον δὴ αἱρῇ, ὦ Σιμμία; ἐπισταμένους ἡμᾶς γεγονέναι, ἢ ἀναμιμνήσκεσθαι ὕστερον ὧν πρότερον ἐπιστήμην εἰληφότες ἦμεν; Οὐκ ἔχω, ὦ Σώκρατες, ἐν τῷ παρόντι ἑλέσθαι. Τί δὲ ἔχεις ἑλέσθαι, καὶ πῇ σοι δοκεῖ περὶ αὐτοῦ; ἀνὴρ ἐπιστάμενος, περὶ ὧν ἐπίσταται ἔχοι ἂν δοῦναι λόγον, ἢ οὔ; Πολλὴ ἀνάγκη, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ δοκοῦσί σοι πάντες ἔχειν διδόναι λόγον περὶ τούτων, ὧν νῦν δὴ ἐλέγομεν; Βουλοίμην μέντ' ἄν, ἔφη ὁ Σιμμίας· ἀλλὰ πολὺ μᾶλλον φοβοῦμαι, μὴ αὔριον τηνικάδε οὐκέτι ἢ ἀνθρώπων οὐδεὶς ἀξίως οἷός τε τοῦδε ποιῆσαι. Οὐκ ἄρα δοκοῦσί σοι ἐπίστασθαί γε, ἔφη, ὦ Σιμμία, πάντες αὐτά. Οὐδαμῶς. Ἀναμιμνήσκονται ἄρα ποτὲ ἃ ἔμαθον. Ἀνάγκη. Πότε λαβοῦ-

quabat. Itaque duorum alterum, ut dico, *ſequetur:* aut hæc ſcientes nati ſumus, ſcimuſque per *omnem* vitam omnes; aut quos deinde dicimus diſcere, duntaxat reminiſcuntur; atque diſcere erit reminiſci. Sic omnino ſe res habet, Socrates.

21. Utrum igitur eligis, Simmia? noſne ſcientes natos eſſe, an reminiſci poſtea quorum prius ſcientiam acceperamus? Non habeo, Socrates, quod in præſentia eligam. Quid vero habes hic, quod eligas, & quid de hoc videtur tibi? vir ſciens poteſtne eorum, quæ ſcit, reddere rationem, an non? Neceſſe admodum eſt, Socrates, inquit. An vero tibi videntur omnes rationem eorum, quæ modo dicebamus, reddere poſſe? Vellem equidem, inquit Simmias: ſed multo magis vereor, ne cras nemo hic amplius ſit, qui id digne poſſit præſtare. Non igitur, Simmia, putas omnes iſta ſcire. Nullo modo. Reminiſcuntur ergo quæ aliquando didicerant. Neceſſe eſt. Quando vero ſcien-

σαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην; οὐ γὰρ δὴ ἀφ' οὗ γε ἄνθρωποι γεγόναμεν. Οὐ δῆτα. Πρότερον ἄρα. Ναί. Ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἰς ἀνθρώπου εἶδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον. Εἰ μὴ ἄρα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας. οὗτος γὰρ λείπεται ἔτι ὁ χρόνος. Εἶεν, ὦ ἑταῖρε. Ἀπόλλυμεν δὲ αὐτὰς ἐν ποίῳ ἄλλῳ χρόνῳ; οὐ γὰρ δὴ ἔχοντές γε αὐτὰς γιγνόμεθα, ὡς ἄρτι ὡμολογήσαμεν. ἢ ἐν τούτῳ ἀπόλλυμεν, ὅπερ ἐν λαμβάνομεν; ἢ ἔχεις ἄλλον τινὰ εἰπεῖν χρόνον; Οὐδαμῶς, ὦ Σώκρατες· οὐκ ἔλαθον ἐμαυτὸν οὐδὲν εἰπών.

κβ'. Ἀρ' οὖν οὕτως ἔχει, ἔφη, ἡμῖν, ὦ Σιμμία; εἰ μέν ἐστιν ἃ ἀεὶ λέγομεν, καλόν τε καὶ ἀγαθὸν, καὶ πᾶσα ἡ τοιαύτη οὐσία, καὶ ὅτι ταύτην τὴν ἐκ τῶν αἰσθήσεων πάντα ἀναφέρομεν, ὑπάρχουσαν πρότερον ἀνευρίσκοντες ἡμετέραν οὖσαν, καὶ ταῦτα ἐκείνῃ ἀπεικάζομεν, ἀναγκαῖον, οὕτως, ὥσπερ

tiam hanc animæ noſtræ acceperunt? non enim ex quo homines nati ſumus. Non certe. Ergo prius. Ita. Erant igitur, Simmia, animæ, etiam priuſquam in humana ſpecie eſſent, ſeorſum a corpore, intelligentiamque habebant. Niſi forte, Socrates, dum naſcimur, haſce ſcientias accipimus: nam id tempus adhuc reliquum eſt. Eſto, amice: ſed quonam alio tempore eas amittimus? non enim habentes eas naſcimur, ut modo confitebamur. An in eo *temporis puncto* eas perdimus, quo & accipimus? an aliud quoddam tempus afferre potes? Nullo modo, Socrates: ſed nihil me dicere minime animadvertebam.

22. An ergo, inquit, ita nobis ſe res habet, Simmia? Si quidem ſunt ea, quæ quotidie prædicamus, pulchrum ſcilicet quiddam & bonum, & omnis ejuſmodi eſſentia, & ad eam omnia ſenſibus percepta referimus, quam & prius exiſtentem & noſtram comperimus, & hæc ipſi, *tanquam exemplari*, aſſimilamus, neceſſe eſt, ut

καὶ ταῦτά ἐστιν, οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν εἶναι, καὶ πρὶν γεγονέναι ἡμᾶς· εἰ δὲ μή ἐστι ταῦτα, ἄλλως ἂν ὁ λόγος οὗτος εἰρημένος εἴη. ἆρ' οὕτως ἔχει, καὶ ἴσην ἀνάγκην ταῦτά τε εἶναι, καὶ τὰς ἡμετέρας ψυχὰς πρὶν καὶ ἡμᾶς γεγονέναι· καὶ εἰ μὴ ταῦτα, οὐδὲ τάδε; Ὑπερφυῶς, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας, δοκεῖ μοι ἡ αὐτὴ ἀνάγκη εἶναι· καὶ εἰς καλόν γε καταφεύγει ὁ λόγος, εἰς τὸ ὁμοίως εἶναι τήν τε ψυχὴν ἡμῶν πρὶν γενέσθαι ἡμᾶς, καὶ τὴν οὐσίαν, ἣν σὺ νῦν λέγεις. οὐ γάρ ἔχω ἔγωγε οὐδὲν οὕτω μοι σαφὲς ὂν, ὡς τοῦτο, τὸ πρέπειν τὰ τοιαῦτα εἶναι ὡς οἷόν τε μάλιστα, καλόν τε καὶ ἀγαθὸν, καὶ τἆλλα πρέποντα, ἃ σὺ νῦν δὴ ἔλεγες· καὶ ἔμοιγε ἱκανῶς ἀποδέδεικται. Τί δὲ δὴ Κέβητι, ἔφη ὁ Σωκράτης; δεῖ γὰρ καὶ Κέβητα πεῖσαι. Ἱκανῶς, ἔφη ὁ Σιμμίας, ὡς ἔγωγε οἶμαι· καίτοι καρτερώτατος ἀνθρώπων ἐστὶ πρὸς τὸ ἀπιστεῖν τοῖς λόγοις. Ἀλλ' οἶμαι

& ipſa ſunt, ita noſtram quoque animam, etiam priuſquam naſceremur, extitiſſe: at ſi hæc non ſunt, ſermo iſte fruſtra habitus erit. An non ita ſe habet, atque æqua neceſſitas eſt, & iſta eſſe, & animas noſtras antequam naſceremur; & niſi hæc ſint, neque illa? Mirum in modum, Socrates, inquit Simmias, eadem mihi videtur eſſe neceſſitas: & ad rem præclaram confugit oratio, *nempe* animam noſtram, perinde, antequam naſceremur, extitiſſe, ac eſſentiam ipſam, quam modo dicebas. Nihil enim tam manifeſtum habeo, quam hoc, eſſe hujuſmodi omnia, & quidem maxime, *ſcilicet* pulchrum ipſum & bonum, aliaque omnia, quæ tu modo dicebas: & quantum ad me attinet, ſatis eſt demonſtratum. Quid vero *videtur* Cebeti, inquit Socrates? oportet enim & Cebeti quoque perſuadere. Satis & *illi perſuaſum eſt*, inquit Simmias, ut ego quidem arbitror; quamvis *omnium* hominum pertinaciſſimus eſt in fide ſermonibus deneganda. Opinor ta-

οὐκ ἐνδεῶς τοῦτο πεπεῖσθαι αὐτὸν, ὅτι πρὶν γενέσθαι ἡμᾶς, ἦν ἡμῶν ἡ ψυχή.

κγ'. Εἰ μέντοι καὶ ἐπειδὰν ἀποθάνωμεν ἔτι ἔσται, οὐδ' ἀπ' ἐμοὶ δοκεῖ, ὦ Σώκρατες, ἔφη, ἀποδεδεῖχθαι· ἀλλ' ἔτι ἐνέστηκεν, ὃ νυνδὴ Κέβης ἔλεγε, τὸ τῶν πολλῶν, ὅπως μὴ ἅμα ἀποθνήσκοντος τοῦ ἀνθρώπου διασκεδάννυται ἡ ψυχὴ, καὶ αὐτῇ τοῦτο τέλος ἦ. τί γὰρ κωλύει γίγνεσθαι μὲν αὐτὴν καὶ ξυμπίπτειν ἄλλοθέν ποθεν, καὶ εἶναι πρὶν καὶ εἰς ἀνθρώπειον σῶμα ἀφικέσθαι· ἐπειδὰν δὲ ἀφίκηται, καὶ ἀπαλλάττηται τούτου, τότε καὶ αὐτὴν τελευτᾶν καὶ διαφθείρεσθαι; Εὖ λέγεις, ἔφη, ὦ Σιμμία, ὁ Κέβης. φαίνεται γὰρ ὥσπερ ἡμῖν ἀποδεδεῖχθαι οὗ δεῖ, ὅτι πρὶν γενέσθαι ἡμᾶς, ἦν ἡμῶν ἡ ψυχή· δεῖν δὲ προσαποδεῖξαι ἔτι, εἰ καὶ ἐπειδὰν ἀποθάνωμεν, οὐδὲν ἧττον ἔσται ἡ πρὶν γενέσθαι, εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἕξειν. Ἀποδέδεικται μέν, ἔφη,

men hoc illi ſatis probatum, animam noſtram, antequam naſceremur, extitiſſe.

23. An vero & poſt interitum noſtrum adhuc futura ſit, nec mihi quidem ipſi, inquit, Socrates, adhuc videtur demonſtratum eſſe; ſed etiamnum vulgi inſtat *dubitatio* illa, quam Cebes commemorabat, an non homine moriente, ſimul anima diſſipetur, atque hic illi exiſtentiæ ſuæ finis ſit. Quid enim prohibet naſci quidem illam & conſtitui aliunde, atque eſſe prius etiam quam in corpus humanum deveniret: poſtquam vero illuc devenerit, & ab eo diſceſſerit, tunc illam etiam interire & corrumpi? Recte loqueris, Simmia, inquit Cebes. Videtur enim quaſi dimidium ejus quod *demonſtrari* oportet, demonſtratum eſſe, noſtram *nempe* animam, antequam naſceremur, extitiſſe; oportere autem te id quoque adhuc demonſtrare, *nimirum* eam, poſtquam mortui fuerimus, non minus fore quam antequam naſceremur, ſi modo finem ſuum demonſtratio ſit habitura. Demonſtratum quidem eſt, inquit

ὦ Σιμμία τε καὶ Κέβης, ὁ Σωκράτης, καὶ νῶ, εἰ θέλετε σκοπεῖσθαι τοῦτόν τε τὸν λόγον εἰς ταὐτὸν καὶ ὃν περὶ τούτου ὡμολογήσαμεν, ὅ γίγνεσθαι πᾶν τὸ ζῶν ἐκ τοῦ τεθνεῶτος. εἰ γάρ ἐστιν ἡ ψυχὴ καὶ πρότερον, ἀνάγκη δ' αὐτὴν εἰς τὸ ζῆν ἰοῦσαν τε καὶ γιγνομένην, μηδαμόθεν ἄλλοθεν ἢ ἐκ θανάτου τε καὶ ἐκ τοῦ τεθνάναι γίγνεσθαι· πῶς οὐκ ἀνάγκη αὐτὴν καὶ ἐπειδὰν ἀποθάνῃ εἶναι, ἐπειδὴ δεῖ αὖθις αὐτὴν γίγνεσθαι; ἀποδέδεικται μὲν δή, ὅπερ λέγεται, καὶ νῶ.

κδ'. Ὅμως δέ μοι δοκεῖς σύ τε καὶ Σιμμίας ἡδέως ἂν καὶ τοῦτον διαπραγματεύσασθαι τὸν λόγον ἔτι μᾶλλον· καὶ δεδιέναι τὸ τῶν παίδων, μὴ ὡς ἀληθῶς ὁ ἄνεμος αὐτὴν ἐκβαίνουσαν ἐκ τοῦ σώματος διαφυσᾷ καὶ διασκεδάννυσιν· ἄλλως τε καὶ ὅταν τύχῃ τις μὴ ἐν νηνεμίᾳ, ἀλλ' ἐν μεγάλῳ τινὶ πνεύματι, ἀποθνήσκων. Καὶ ὁ Κέβης ὑπογελάσας, Ὡς δεδιότων, ἔφη, ὦ Σώκρατες, πειρῶ ἀναπείθειν· μᾶλλον δὲ μὴ ὡς ἡμῖν δεδιότων· ἀλλ' ἴσως ἔνι τις

Socrates, iſtud, Simmia & Cebes, etiam nunc, ſi modo velitis & hunc ſermonem & illum, quem ante conceſſeramus, *videlicet* omne vivens ex mortuo fieri, in unum connectere. Si enim anima & prius eſt, & quum in hanc venit vitam, gigniturque *homo*, neceſſe eſt, non aliunde eam, quam ex morte & ipſo mori, gigni; cur non neceſſarium ſit, ut etiam poſt mortem exiſtat, quum ipſam rurſus gigni oporteat? Demonſtratum igitur & nunc eſt, ut dicebatur.

24. Veruntamen videmini tu atque Simmias libenter ſermonem hunc etiam diligentius pertractaturi; ac puerorum more formidare, ne revera animam corpore egredientem ventus perflet atque diſſipet; præſertim ſi quis non in cœlo tranquillo, ſed ventis vehementius flantibus, moriatur. Ad hæc Cebes ſubridens, Tanquam nobis id formidantibus, inquit, Socrates, conare perſuadere: imo vero non tanquam formidantibus nobis: ſed fortaſſe eſt & in-

ἢ σὺ ἡμῖν παῖς, ὅστις τὰ τοιαῦτα φοβεῖται. τοῦτον οὖν πειρώμεθα πείθειν μὴ δεδιέναι τὸν θάνατον, ὥσπερ τὰ μορμολύκεια. Ἀλλὰ χρή, ἔφη ὁ Σωκράτης, ἐπᾴδειν αὐτῷ ἐκάστης ἡμέρας, ἕως ἂν ἐξιάσηται. Πόθεν οὖν, ἔφη, ὦ Σώκρατες, τῶν τοιούτων ἀγαθὸν ἐπῳδὸν ληψόμεθα, ἐπειδὴ σύ, ἔφη, ἡμᾶς ἀπολείπεις; Πολλὴ μὲν ἡ Ἑλλὰς, ἔφη, ὦ Κέβης, ἐν ᾗ ἔνεισί που ἀγαθοὶ ἄνδρες· πολλὰ δὲ καὶ τὰ τῶν βαρβάρων γένη, οὓς πάντας χρὴ διερευνᾶσθαι, ζητοῦντας τοιοῦτον ἐπῳδόν, μήτε χρημάτων φειδομένους, μήτε πόνων. ὡς οὐκ ἔστιν εἰς ὅ, τι ἂν εὐκαιρότερον ἀναλίσκοιτε χρήματα. ζητεῖν δὲ χρὴ καὶ αὐτοὺς μετ' ἀλλήλων. ἴσως γὰρ ἂν οὐδὲ ῥᾳδίως εὕροιτε μᾶλλον ὑμῶν δυναμένους τοῦτο ποιεῖν. Ἀλλὰ ταῦτα μὲν δὴ ἔσται, ἔφη ὁ Κέβης. ὅταν δὲ ἀπελίπομεν, ἐπανέλθωμεν, εἰ σοι ἡδομένῳ ἐστίν. Ἀλλὰ μὴν ἡδομένῳ γε. πῶς γὰρ οὐ μέλλει; Καλῶς, ἔφη, λέγεις.

ter nos puer aliquis, qui talia metuat. Huic ergo conemur persuadere, ne mortem, ceu larvas, pertimescat. Oportet ergo, inquit Socrates, hunc carminibus quotidie demulcere, donec sanus efficiatur. Undenam ergo, inquit *Cebes*, hominem hujusce incantandi artis peritum nanciscemur, Socrates, quandoquidem tu nos deseris? Ampla est, inquit, Cebes, Græcia, in qua boni insunt viri: multæ quoque barbarorum gentes sunt, quas omnes perlustrare oportet, hominem artis hujuscemodi peritum quærentes, neque pecuniis parcentes, neque laboribus. Nihil enim est, in quod commodius pecunias impendatis. Perscrutandum vero est etiam inter vos ipsos: forte enim *alios* haud facile invenietis, qui melius, quam vos ipsi, id queant efficere. Fient quidem hæc, inquit Cebes: sed redeamus jam, si tibi placet, unde digressi sumus. Mihi certe placet, *inquit*. Cur non enim *ita* futurum est? Recte dicis, inquit *Cebes*.

κε'. Οὐκοῦν τοιόνδέ τι, ἦ δ' ὃς ὁ Σωκράτης, δεῖ ἡμᾶς ἀνερέσθαι ἑαυτούς, ᾧ ποίῳ ποτὲ ἄρα πρέπει τοῦτο τὸ πάθος πάσχειν; τὸ διασκεδάννυσθαι, καὶ ὑπὲρ ὅ ποίου τινὸς δεδιέναι, μὴ πάθῃ αὐτό, καὶ τῷ ποίῳ τινί· καὶ μετὰ τοῦτο αὖ ἐπισκέψασθαι, πότερον ψυχή ἐστι· καὶ ἐκ τούτων θαρρεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς. Ἀληθῆ, ἔφη, λέγεις. Ἆρ' οὖν τῷ μὲν συντεθέντι τε καὶ συνθέτῳ ὄντι φύσει πρέπει τοῦτο πάσχειν, διαιρεθῆναι ταύτῃ, ἥπερ συνετέθη· εἰ δέ τι τυγχάνει ὂν ἀσύνθετον, τούτῳ μόνῳ προσήκειν μὴ πάσχειν τὰ αὐτά, εἴπερ τῷ ἄλλῳ; Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὁ Κέβης. Οὐκοῦν ἅπερ ἀεὶ κατὰ ταυτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀσύνθετα· τὰ δὲ ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταυτά, ταῦτα δὲ εἶναι τὰ σύνθετα; Ἐμοιγε δοκεῖ οὕτως. Ἰωμεν δή, ἔφη, ἐπὶ ταῦτα, ἐφ' ἅπερ ἐν τῷ ἔμπροσθεν λόγῳ. αὐτὴ ἡ οὐσία, ἧς λόγον δίδομεν ὅ τι ἐστί, καὶ ἐρωτῶντες καὶ

25. Tale ergo aliquid, inquit Socrates, a nobis ipsis scisciscitari debemus, cuinam ergo rei id pati convenit, *nempe* ut dissipetur, & de quanam re timere *oportet*, ne id patiatur, & cuinam *id timere convenit:* & deinde considerare, utrum anima sit: & ex his de anima nostra vel bonam spem habere vel timere. Vera loqueris, inquit. Nonne igitur ei quidem, quod componitur & compositum est, natura id pati convenit, ut, quatenus est compositum, eatenus dissolvatur; si quid vero non sit compositum, huic soli, si cui alii, convenit hæc ipsa minime pati? Mihi quidem ita esse videtur, inquit Cebes. An non quæ semper eodem modo & æquabiliter se habent, hæc simplicia esse maxime consentaneum est; quæ vero alias aliter, nec unquam eodem modo, hæc esse composita? Ita ego quidem opinor. Redeamus ergo, inquit, ad illa, ad quæ in superiori sermone *processimus*. Ipsa essentia, quam, tum in interrogationibus, tum in responsionibus re-

ἐπκεινόμθνοι, πότερον ὡσαύτως ἀεὶ ἔχει κατὰ ταυτὰ, ἢ ἄλλοτ' ἄλλως; αὐτὸ τὸ ἴσον, αὐτὸ τὸ καλὸν, αὐτὸ ἕκαστον, ὅ ἐστι τὸ ὄν, μήποτε μεταβολὴν καὶ ἠντινοῦν ἀνδέχεται; ἢ ἀεὶ αὐτῷ ἕκαστον ὅ ἐστι, μονοειδὲς ὄν, αὐτὸ καθ' αὐτὸ ὡσαύτως πῃ ταυτὰ ἔχῃ, καὶ οὐδέποτε ὐδαμῇ ὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἀνδέχεται; Ὡσαύτως, ἔφη, ἀνάγκη, ὁ Κέβης, καὶ πῃ τὰ αὐτὰ ἔχειν, ὦ Σώκρατες. Τί δὲ τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων ἢ ἵππων ἢ ἱματίων, ἢ ἄλλων ὁντινωνοῦν τοιούτων, ἴσων ἢ καλῶν, ἢ πάντων τῶν ἐκείνοις ὁμωνύμων; ἆρα κατὰ τὰ αὐτὰ ἔχει, ἢ ὥσπερ τοὐνδιπτον ἐκείνοις, οὔτε αὐτὰ [1] αὐτοῖς, οὔτε ἀλλήλοις οὐδέποτε, ὡς ἔπος εἰπεῖν, ὐδαμῶς κατὰ ταυτά ἐστιν; Οὕτως αὖ, ἔφη, ταῦτα, ὁ Κέβης, οὐδέποτε ὡσαύτως ἔχει. Οὐκοῦν τούτων μὲν καὶν ἅψαιο, καὶν ἴδοις, καὶν ταῖς ἄλλαις αἰσθήσεσιν αἰσθοιο· τῶν δὲ καλὰ

vera eſſe ſtatuimus, utrum æquabiliter eodemque modo ſe ſemper habet, an alias aliter? ipſum æquale, ipſum pulchrum, ipſum unumquodque, quod revera eſt, utrum unquam mutationem qualemcunq; recipit? an ipſorum ſemper unumquodque quod *vere* eſt, uniforme exiſtens, ipſum per ſe ipſum æquabiliter & eodem modo ſe habet, neque unquam neque ullo prorſus pacto mutationem aliquam ſuſcipit? Neceſſe eſt, inquit Cebes, hæc, Socrates, eodem modo & æquabiliter ſe habere. Quid autem *dicemus* de omnibus rebus pulchris, ſcilicet hominibus, equis, veſtibus, vel aliis quibuſcunque talibus, quæ vel pulchra ſunt vel æqualia, vel de omnibus, quæ illis ſynonyma ſunt? num hæc eodem modo ſe habent, an potius omnino contra quam illa, *videlicet* neque ipſa ſibimet, neque invicem unquam, ut verbo dicam, ullo pacto eodem modo ſe habent? Hæc item, inquit Cebes, nunquam æquabiliter ſe habent. Hæc ergo tangi, videri, aliiſque ſenſibus percipi poſſunt: quæ vero *ſemper*

[1] Forſan αὐτοῖς.

ταυτὰ ἐχόντων ὄκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῇ διανοίας λογισμῷ· ἀλλ' ἔστιν ἀειδῆ τὰ τοιαῦτα, καὶ οὐχ ὁρᾶται. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις.

κϛ'. Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν, ὁρατὸν, τὸ δὲ, ἀειδές; Θῶμεν, ἔφη. Καὶ τὸ μὲν ἀειδὲς, ἀεὶ κατὰ τὰ αὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν, μηδέποτε κατὰ ταυτά; Καὶ τοῦτο, ἔφη, θῶμεν. Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν, ἢ ὃ μὲν, σῶμά ἐστι, τὸ δὲ, ψυχή; Οὐδὲν ἄλλο, ἔφη. Ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει [1] φαμὲν ἂν τῷ ξυγγενέστερον τὸ σῶμα; Παντὶ, ἔφη, τοῦτό γε δῆλον, ὅτι ᾧ ὁρατῷ. Τί δὲ ἡ ψυχὴ; ὁρατὸν, ἢ ἀειδές; Οὐχ ὁρατὸν γε, ὦ Σώκρατες, ἔφη. Ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ, τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν· ἢ ἄλλῃ τινὶ οἴει; Τῇ τῶν ἀνθρώπων. Τί οὖν περὶ ψυχῆς ἐλέ-

eodem modo ſe habent, nulla alia ratione comprehendi poſſunt, quam *ſola* mentis cogitatione; at talia ſunt inviſibilia, neque cernuntur. Vera omnino loqueris, inquit.

26. Vis ergo duas rerum ſpecies ponamus, alteram viſibilem, inviſibilem alteram? Ponamus, inquit. Et inviſibilem quidem, ſemper eodem modo ſe habere, viſibilem vero nunquam? Hoc quoque ponamus, inquit. Age ergo, inquit ille, aliudne quiddam nobis ineſt, quam partim quidem corpus, partim vero animus? Nihil aliud, inquit. Utrinam ergo ſpeciei corpus eſſe ſimilius magiſque cognatum dixerimus? Nemini dubium, inquit, quin viſibili. Quid vero animus? viſibilene quiddam eſt, an inviſibile? Non hominibus certe, Socrates, inquit. Atqui nos quidem de iis, quæ humanæ naturæ reſpectu viſibilia ſint vel non, loquebamur: an de iis, quæ alterius cujuſvis *reſpectu ſint*, *nos loqui* exiſtimas? De iis, quæ humanæ *reſpectu ſint*. Quid ergo de animo di-

1 Forſan φαῖμεν *Steph.*

μεν, ὁρατὸν εἶ), ἢ οὐχ ὁρατόν; Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα; Ναί. Ὁμοιότερον ἄρα ψυχὴ σώματος ὅτι τῷ ἀειδεῖ, τὸ δὲ, ᾧ ὁρατῷ. Πᾶσα ἀνάγκη, ὦ Σώκρατες.

κζ'. Οὐκοῦν καὶ τόδε πάλαι ἐλέγομεν, ὅτι ἡ ψυχὴ, ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι, ἢ διὰ τῆς ὄψεως, ἢ διὰ τῆς ἀκοῆς, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως, (τοῦτο γάρ ἐστι τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθήσεως σκοπεῖν τι) τότε μὲν ἕλκεται ὑπὸ τοῦ σώματος εἰς τὰ μηδέποτε κατὰ ταὐτὰ ἔχοντα· καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται, καὶ ἰλιγγιᾷ, ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη; Πάνυ γε. Ὅταν δέ γε αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον· καὶ, ὡς συγγενὴς οὖσα αὐτῷ, ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅταν μόνη καθ' αὑτὴν γένηται, καὶ ἐξῇ αὐτῇ· καὶ πέπαυταί τε τοῦ πλάνου, καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε

cebamus, videri eum posse, an non? Non videri. Invisibilem ergo esse? Ita. Animus igitur invisibili *speciei* similior est quam corpus, hoc vero visibili. Necesse id est, Socrates, omnino.

27, An non & hoc jamdudum dicebamus, animum, cum ad aliquid considerandum corporis ministerio utatur, vel per visum, vel per auditum, vel per alium aliquem sensum, (hoc enim, *nimirum* per sensus aliquid considerare, est per corpus *considerare*) tunc quidem a corpore pertrahi ad ea, quæ nunquam eodem modo se habent; atque ipsum errare perturbarique, &, quasi ebrium, vertigine laborare, quippe qui res hujusmodi attigerit? Prorsus. At vero quoties ipse per se ipsum aliquid contempletur, illuc proficiscitur ad id, quod & purum est, & sempiternum & immortale, & quod æquabiliter se habet: &, tanquam ipsi cognatus, semper cum illo versatur, quoties ipse apud se ipsum sit, ipsique liceat; & ab errore cessat, & circa illa semper eodem modo & æquabiliter se habet, quippe quires

τοιούτων ἐφαπτομένη. καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται. Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. Ποτέρῳ δὴ αὖ σοι δοκεῖ τῷ εἴδει, καὶ ἐκ τῶν πρόσθεν καὶ ἐκ τῶν νῦν λεγομένων, ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστερον; Πᾶς ἂν, ἔμοιγε δοκεῖ, ἡ δ' ὅς, συγχωρήσαι, ὦ Σώκρατες, ἐκ ταύτης τῆς μεθόδου καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ ᾧ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον, ἢ ᾧ μή. Τί δὲ δὴ σῶμα; Τῷ ἑτέρῳ.

κη'. Ὅρα δὴ καὶ τῇδε, ὅταν ἐπισκοπῶμεν ἐν ᾧ αὖ ὄντι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δέ, ἄρχειν καὶ δεσπόζειν. καὶ τί ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον ᾧ θείῳ εἶναι, καὶ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι ὃ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, ὃ δὲ θνητόν, ἄρχεσθαί τε καὶ δουλεύειν; Ἔμοιγε. Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικε; [1] Δηλαδὴ,

hujuſmodi attigerit: atque hæc ejus affectio prudentia nuncupatur. Præclare, inquit, ac vere omnino, Socrates, loqueris. Utri igitur ſpeciei rurſus tibi videtur, & ex iis quæ ſupra, & ex iis quæ modo dicta ſunt, animus eſſe ſimilior magiſque cognatus? Arbitror equidem, Socrates, quemlibet, inquit, vel hebetiſſimum ex hac *ratiocinandi* methodo conceſſurum, animum & in toto & in omni *parte* ſimiliorem eſſe ei, quod ſemper eodem modo ſe habet, quam ei, quod non. Quid autem corpus? Alteri *ſpeciei*.

28. Animadverte etiam & hoc modo; quum ſimul animus corpuſque verſentur, hoc quidem ſervire atque parere jubet natura, illum vero præeſſe atque dominari. Ex hiſce autem rurſus utrum tibi videtur ſimile eſſe divino, utrum mortali? An non putas divinum quidem tale eſſe natura, ut præſit atque imperet: mortale vero, ut pareat ac ſerviat? Equidem. Utri igitur animus eſt ſimilis? Conſtat,

1 Forſan Δῆλα δὴ *Steph.*

ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ὀκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει· τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ ταυτὰ ἔχοντι ἑαυτῷ, ὁμοιότατον εἶναι ψυχήν· τῷ δ' ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ, ὁμοιότατον αὖ εἶναι σῶμα. ἔχομέν τι πρὸς ταῦτα ἄλλο λέγειν, ὦ φίλε Κέβης, ὡς οὐκ οὕτω ἔχει; Οὐκ ἔχομεν.

κθ'. Τί οὖν; τούτων οὕτως ἐχόντων, ἆρ' οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι πέφυκεν, ψυχῇ δὲ αὖ τοὐναντίον ἀδιαλύτῳ εἶναι· ἢ ἐγγύς τι τούτου; Πῶς γὰρ οὔ; Ἐννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ σῶμα καὶ ἐν ὁρατῷ κείμενον (ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ πέφυκε διαλύεσθαι καὶ διαπίπτειν

Socrates, animum quidem *similem esse* divino, corpus vero mortali. Animadverte ergo, inquit, Cebes, utrum hæc ex omnibus, quæ dicta sunt, nobis contingant: ipsi quidem divino, immortali, intelligentia prædito, simplici, indissolubili, semperque æquabiliter & eodem sibimet modo se ipsum habenti, animum esse simillimum; humano vero, mortali, intelligentiæ experti, multiplici, dissolubili, & nunquam eodem modo sibimet se habenti, simillimum contra esse corpus. Possumusne, amice Cebes, præter hæc aliud quicquam afferre, quo minus ita sit? Non possumus.

29. Quid ergo? cum hæc ita sint, nonne corpori quidem convenit, ut cito dissolvatur, animo vero contra, ut omnino indissolubile sit; aut aliquid huic proximum? Quidni? Cernis ergo, inquit, postquam homo mortuus fuerit, quod in eo visibile est, corpus, & in *loco* visibili positum, (quod quidem cadaver appellamus, cui convenit, ut dissolvatur, concidat,

καὶ διαπνεῖται) ἢ οὐ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ' ὁπεικῶς συχνὸν ἐπιμένῃ χρόνον· ἐὰν μέν τις καὶ καλέσας ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν [1] τοιαύτῃ ὥρᾳ καὶ πάνυ μάλα. συμπεσὸν γὰρ ὃ σῶμα καὶ ταριχευθέν, ὥσπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγα ὅλον μένῃ ἀμήχανον ὅσον χρόνον. ἔνια δὲ μέρη γε σώματος, κἂν σαπῇ, ὅσα τε καὶ νεῦρα καὶ τὰ τοιαῦτα πάντα, ὅμως, ὡς ἔπος εἰπεῖν, ἀθάνατά ἐστιν. ἢ γάρ; Ναί. Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, ὃ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς ᾅδου, ὡς ἀληθῶς, πρὸς τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν· (οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τὴν ἐμὴν ψυχὴν ἰτέον) αὕτη ἆρ' ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα, ἀπαλλαττομένη τοῦ σώματος, εὐθὺς διαπέφυσέν τε καὶ ἀπόλωλεν, ὡς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία. ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔ-

dissipetur) nihil horum statim pati, sed satis longum tempus permanere; *imo*, si quidem quis cum venusto corpore decesserit, & eandem quoque speciem quam maxime retinere. Corpus enim astrictum & conditum, quemadmodum qui in Ægypto condiri solent, incredibile quoddam tempus ferme integrum manet. Quinetiam si putrescat, nonnullæ corporis partes, ossaque & nervi atque omnia hujusmodi, pene dixerim, immortalia permanent: an non? Ita. Animus ergo, qui invisibile est, qui in alterum quendam similemque migrat locum, præclarum, purum, invisibilem, *nempe* ad inferos revera apud bonum sapientemque deum; (quo, si deus voluerit, paulo post meo quoque animo migrandum est) hiccine ergo talis, talique natura præditus, cum a corpore discesserit, continuo dissipabitur atque interierit, quemadmodum vulgus hominum dicit? Permultum certe abest, dilecte Cebes atque Simmia. At multo magis ita se res ha-

1 Forsan τῇ αὐτῇ.

χῇ· ἐὰν μὴ καθαρὰ ἀπαλλάτῃ), μηδὲν τοῦ σώματος συνεφέλκυσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἐκοῦσα ἔτι), ἀλλὰ φεύγουσα αὐτό, καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα, καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως. ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη θανάτου; Παντάπασί γε. Οὐκοῦν οὕτω μὲν ἔχουσα, εἰς τὸ ὅμοιον αὐτῇ τὸ θεῖον ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον· οὗ ἀφικομένῃ, ὑπάρχει αὐτῇ εὐδαιμονι ἔτι), πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ· ὥσπερ δὲ λέγεται καὶ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; Οὕτω νὴ Δί', ἔφη ὁ Κέβης.

λ'. Ἐὰν δέ γε, οἶμαι, μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάτῃ), ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα, καὶ τοῦτο θεραπεύσα

bet: ſi quidem purus diſceſſerit, corporeum nihil ſecum trahens, utpote qui nullum cum illo in vita lubens commercium haberet, ſed fugeret illud, ipſeque in ſemet ipſum colligeretur, quippe qui ſemper hoc commentatus eſſet. Hoc autem nihil aliud eſt quam recte philoſophari, mortemque revera facile commentari. An non hoc mortis commentatio eſt? Omnino quidem. Nonne *animus* igitur ita comparatus, ad ſibi ſimile divinum abit, divinumque & immortale & ſapiens; quo cum pervenerit, felix evadit, ab errore, ignorantia, timoribus, inſanis amoribus, cæteriſque malis humanis liberatus; &, quemadmodum de initiatis dici ſolet, revera reliquum tempus cum diis degens? Itane dicendum eſt, Cebes, an aliter? Ita per Jovem, inquit Cebes.

30. Sin autem, opinor, pollutus impuruſque a corpore deceſſerit, utpote qui cum corpore ſemper verſaretur, ipſumque coleret & ama-

καὶ ἐρῶσα, καὶ γεγοητευμένη ὑπ' αὐτοῦ, ὥστε τοιούτων ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς, ἀλλ' ἢ τὸ σωματοειδὲς, οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι, καὶ πίοι καὶ φάγοι, καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο· τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀιδὲς, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετὸν, τοῦτο δὲ εἰθισμένην μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν· οὕτω δὴ ἔχουσαν, οἴει ψυχὴν αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; Οὐδ' ὁπωστιοῦν, ἔφη. Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὁ αὐτὴ ἡ ὁμιλία τε καὶ ξυνουσία τοῦ σώματος, διὰ τὸ ἀεὶ ξυεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην, ἐνεποίησε ξύμφυτον. Πάνυ γε. Εἰκὸς δέ γε, ὦ φίλε, τοῦτο οἰόμεθα χρὴ εἶναι, καὶ βαρὺ καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ, βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀιδοῦς τε καὶ ᾅδου, ὥσπερ λέγεται, περὶ

ret, & ab eo, ejuſque cupiditatibus & voluptatibus, quaſi præſtigiis, uſque adeo deciperetur, ut nihil aliud revera eſſe putaret, niſi quod corporeum eſſet, quod tangere, quodque videre quis poſſet, quodque biberet atque ederet, & quo in rebus venereis uteretur; quod vero oculis quidem obſcurum & inviſibile eſſet, at intelligibile tamen & philoſophia comprehendendum, id odio habere conſueſceret, formidareque & fugere; animum ergo ita comparatum putas ipſum per ſe ſincerum deceſſurum fore? Nullo modo, inquit. Sed contaminatum quidem, ut arbitror, *contagione* corporea, quam ipſa conſuetudo & familiaritas corporis, quod cum illo perpetuo verſatus eſſet, & *quæ ad illud ſpectant*, multum commentatus eſſet, effecit congenitam. Omnino. Ponderoſum vero, amice, id putandum eſt, & grave terrenumque & viſibile; quod ergo anima ejuſmodi ſecum habens, gravatur & rurſus ad locum viſibilem pertrahitur, metu inviſibilis atque inferni, &, quemadmodum fertur, cir-

τὰ μνήματά τε καὶ τὰς ταφὰς καλινδουμένη· περὶ ἃ δὴ καὶ ἄφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι, ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι· διὰ καὶ ὁρῶνται. Εἰκός γε, ὦ Σώκρατες. Εἰκὸς μέντοι, ὦ Κέβης. καὶ γὰρ τοὺς τῶν ἀγαθῶν οὐκ εἰκὸς εἶναι, ἀλλὰ τοὺς τῶν φαύλων, οἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι, δίκην τίνοντες τῆς προτέρας τροφῆς, κακῆς οὔσης. καὶ μέχρι γε τούτου πλανῶνται, ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα.

λα'. Ἐνδοῦνται δή, ὥσπερ εἰκός, εἰς τὰ τοιαῦτα ἤθη, οἷπερ ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; Οἷον, τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοτιμίας μεμελετηκότας, καὶ μὴ διευλαβημένους, εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι. ἢ οὐκ οἴει; Πάνυ μὲν οὖν εἰκὸς λέγεις. Τοὺς δέ γε

ca monumenta ſepulchraque verſatur: circa quæ quidem nonnullæ etiam apparuerunt animarum quaſi umbræ & imagines, qualia præbent ſimulacra tales animæ, quæ non pure ſolutæ ſunt, ſed viſibilis aliquid retinent: ideo & conſpiciuntur. Conſentaneum eſt, Socrates. Conſentaneum quidem, Cebes, eſt: non autem has bonorum eſſe *animas*, ſed malorum, quæ circa *loca* hujuſcemodi oberrare coguntur, pœnas dantes vitæ prioris improbe actæ. Et tam diu vagantur, donec cupiditate naturæ corporeæ eas comitantis corpori rurſus illigentur.

31. Illigantur autem, ut conſentaneum eſt, ejuſmodi moribus, quales etiam in vita exercuerint. Quales ergo hoſce dicis, Socrates? Exempli gratia, eos, qui ventri, petulantiæ, propinationibus dediti, *vitam egerint*, neque quicquam penſi pudoriſque habuerint, in aſinorum formas & ejuſmodi brutorum indui conſentaneum eſt: an non putas? Conſentanea omnino loqueris. Qui vero

ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας, εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη. ἢ ποῖ ἂν ἄλλοσε [1]φαμὲν τὰς τοιαύτας ἰέναι; Ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. Οὐκοῦν, ἦ δ' ὅς, [2]δῆλα δὴ καὶ τἆλλα, ἢ ἂν ἕκαστα ἴοι, τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης. Δῆλον δή, ἔφη. πῶς δ' οὔ; Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσί, καὶ εἰς βέλτιστον τόπον ἰόντες, οἱ τὴν δημοτικὴν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες· ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγενῆσαν, ἄνευ φιλοσοφίας τε καὶ νοῦ; Πῇ δὴ οὗτοι εὐδαιμονέστατοι; Ὅτι τούτους εἰκὸς ἐστὶν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἢ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταυτόν γε πάλιν ὃ ἀνθρώπινον γένος, καὶ γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους. Εἰκός.

injuſtitiam, tyrannides, & rapinas in maximo pretio habuerint, eos in luporum accipitrumque & milvorum genera *commutari:* aut quonam alio haſce *animas* migrare dicendum eſt? Ad hujuſmodi certe *genera*, inquit Cebes. Et de cæteris ergo manifeſtum, quo quæque *anima* abeat, ex morum, quas exercuerint, ſimilitudinibus. Manifeſtum eſt, inquit: quidni? Nonne ergo & horum feliciſſimi ſunt, & in optimum proficiſcuntur locum, qui popularem civilemque virtutem exercuerint; quam utique temperantiam & juſtitiam nominant, abſque philoſophia *quidem* atque mente, *ſed* ex conſuetudine exercitationeque profectam? Quonam pacto hi feliciſſimi ſunt? Quoniam conſentaneum eſt hos in tale quoddam genus civile miteque iterum demigrare, apum nempe aut veſparum aut formicarum, aut etiam in idem rurſus genus humanum, & ex iis frugi homines fieri. Conſentaneum eſt.

1 Forſan *φαῖμεν Steph.* 2 Forſ. *δῆλα δή.*

λϚ'. Εἰς δέ γε θεῶν γένος, μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι, οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ. ἀλλὰ τούτων ἕνεκα, ὦ ἑταῖρε Σιμμία τε καὶ Κέβης, οἱ ὀρθῶς φιλόσοφοι, ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν, καὶ καρτεροῦσι, καὶ οὐ παραδιδόασιν αὐτὰς αὑτούς· οὔτε οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι, ὥσπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι· οὐδὲ αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας δεδιότες, ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι, ἔπειτα ἀπέχονται αὐτῶν. Οὐ γὰρ ἂν πρέποι, ἔφη, ὦ Σώκρατες, ὁ Κέβης. Οὐ μὰ τοίνυν Δί', ἦ δ' ὅς. τοιγάρτοι τούτοις μὲν ἅπασιν, ἔφη, ὦ Κέβης, ἐκεῖνοι οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι, χαίρειν εἰπόντες, ἃ καὶ ταυτὰ πράττουσι αὐτοῖς, ὡς οὐκ εἰδόσιν ὅπῃ ἔρχονται· αὐτοὶ δὲ ἡγούμενοι ἃ δεῖν ἐναντία τῇ φιλοσοφίᾳ πράττειν, καὶ τῇ ἐκείνης λύσει τε καὶ καθαρ-

32. In deorum vero genus nulli fas est pervenire, præterquam iis, qui discendi cupiditate flagrantes, philosophati sunt & puri penitus discesserunt. Horum itaque gratia, amice Simmia atque Cebes, qui recte philosophantur, ab omnibus corporis cupiditatibus abstinent, atque *ita* perseverant, neque se illis tradunt; nec vero, quod rei familiaris jacturam paupertatemque formident, quemadmodum avarorum turba; neque rursus quod infamiam & ignaviæ dedecus metuant, quemadmodum qui magistratus ambiunt & honores, ideo a *cupiditatibus* hisce abstinent. Non enim id, Socrates, deceret, inquit Cebes. Non per Jovem, inquit ille. Quamobrem hi, qui animum suum curant, neque corpore fingendo *colendoque* vitam occupant, illis, *quos supra memoravimus*, valere jussis, non eandem, quam illi, utpote qui, quo proficiscantur, ignorent, viam insistunt: ipsi vero rati philosophiæ ejusque solutioni & purificationi repugnandum

μῷ, ταύτῃ τρέπονται, ἐκείνῃ ἑπόμενοι ᾗ ἐκείνη ὑφηγεῖται. Πῶς, ὦ Σώκρατες; Ἐγὼ ἐρῶ, ἔφη.

λγ'. Γινώσκουσι γὰρ, ἦ δ' ὅς, οἱ φιλομαθεῖς, ὅτι παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία, (ἀτεχνῶς δεδεμένην ἐν τῷ σώματι καὶ προσκεκολλημένην, ἀναγκαζομένην δὲ, ὥσπερ δι' εἱργμοῦ, διὰ τούτου σκοπεῖσθαι τὰ ὄντα, ἀλλὰ μὴ αὐτὴν δι' αὑτῆς, καὶ ἐν πάσῃ ἀμαθίᾳ κατειλυμένην, καὶ τοῦ εἱργμοῦ τὴν δεινότητα καταδοῦσα, ὅτι δι' ἐπιθυμίας ἐστὶν, ὡς ἂν μάλιστα αὐτὸς ὁ δεδεμένος ξυλλήπτωρ εἴη τῷ δεδέσθαι) ὅπερ οὖν λέγω, γιγνώσκουσιν οἱ φιλομαθεῖς ὅτι οὕτω παραλαβοῦσα ἡ φιλοσοφία ἔχουσαν αὐτῶν τὴν ψυχὴν, ἡρέμα παραμυθεῖται καὶ λύειν ἐπιχειρεῖ· ἐνδεικνυμένη ὅτι ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις· ἀπάτης δὲ, ἡ διὰ τῶν ὤτων καὶ τ' ἄλλων αἰσθήσεων· πείθουσα δὲ ἐκ τούτων μὴ ἀναχωρεῖν, ὅσον μὴ ἀνάγκη αὐτοῖς

non eſſe, ad hanc ſe *viam* conferunt, ipſam ſequuti, qua ipſa præit. Quonam pacto, Socrates? Dicam, inquit.

33. Cognoſcunt enim viri diſcendi cupidi, philoſophiam, cum eorum animam ſuſceperit, (corpori plane alligatam atque agglutinatam, ac per ipſum, quaſi per clauſtrum quoddam, res conſiderare coactam, non autem ipſam per ſe ipſam, atque *adeo* in omni prorſus ignorantia volutatam, & cum ea, *ſcilicet philoſophia*, clauſtri iſtius vim perſpexerit, quippe quod ex cupiditate ortum trahat, adeo ut ipſe, qui devinctus ſit, quam maxime adjutor ſit ad ſe ipſum devinciendum) cognoſcunt ergo, inquam, viri diſcendi cupidi, philoſophiam, cum eorum animam ita conſtitutam ſuſceperit, leniter adhortari & ſolvere aggredi; oſtendentem, fallaciſſimam quidem eſſe eam *rerum* conſiderationem, quæ per oculos fit; & fallaciſſimam quoque, quæ per aures ſenſuſque cæteros: ſuadentemque, ut ab hiſce recedat, niſi quatenus iis uti cogat

χρῆαϛ, αὐτὴν ἢ εἰς αὐτὴν ξυλλέγεαϛ, ϗ ἀθροίζεαϛ πρακελευομένη· πιϛεύειν δὲ μηδενὶ ἄλλῳ, ἀλλ' ἢ αὐτὴν αὑτῇ, ὅ, τι ἂν νοήσῃ αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τ᾽ ὄντων· ὅ, τι δ' ἂν δι' ἄλλων σκοπῇ, ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖαϛ ἀληθὲς· εἶναι δὲ ὃ μὴ τοιοῦτον, ἀιθητόν τε ϗ ὁραϛόν· ὃ δὲ αὐτὴ ὁρᾷ, νοητόν τε ϗ ἀειδές. ταύτῃ ὃν τῇ λύσῃ ὑπ οἰομένη δεῖν ἐναντιοῦαϛ ἡ ψ ὡς ἀληθῶς φιλοσόφυ ψυχή, οὕτως ἀπέχεϑ᾽ τ᾽ ἡδονῶν τε ϗ ἐπιθυμιῶν ϗ λυπῶν ϗ φόβων, καθ' ὅσον δύναϑ· λογιζομένη ὅτι ἐπειδάν τις σφόδρα ἡδῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ὑπ᾽ ἐπιθυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν ἔπαθεν ἀπ' αὐτῶν, ὅσον ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας, ἤ τι ἀναλώσας διὰ τὰς ἐπιθυμίας· ἀλλ' ὃ πάντων μέγιϛόν τε κακῶν ϵ ἔϛι κατόν ἐϛι, τοῦτο πάσχῃ, ϗ ὑ λογίζεϑ᾽ αὐτό. Τί τοῦτο, ὦ Σώκρατες; ἔφη ὁ Κέβης. Οπ ἡ ψυχὴ παντὸς ἀνθρώπυ ἀναγκάζεται ἅμα τε ἡδῆναι ἢ λυπηθῆναι σφό-

necessitas, seque, ut in se ipsam revocet atque colligat, hortantem; nec ulli credat, praeterquam ipsa sibi, quicquid *nempe* ipsa per se ipsam eorum, quae *vere* sunt, ipsum per se ipsum intelligat: quicquid vero ipsa per alia consideret, quodque in aliis aliud sit, ut nihil *tale* verum existimet: quod vero hujuscemodi quidem sit, sensibile esse atque visibile; quod autem ipsa *per se* percipiat, intelligibile atque invisibile. Huic ergo solutioni veri philosophi animus repugnandum non esse judicans, ideo a voluptatibus, cupiditatibus, doloribus, timoribus, pro viribus abstinet; *sic rem* reputans, quando *nimirum* quis vehementer delectetur vel metuat vel doleat aut cupiat, haud tantum ab his pati malum, quantum quis forsan existimarit, si, exempli causa, cupiditatibus indulgendo, vel ægrotaverit *quispiam*, vel pecunias consumpserit: sed quod malorum omnium maximum & extremum est, hoc eum perpeti, neque tamen ejus rationem habere. Quidnam hoc, Socrates est? inquit Cebes. Quod cujusvis hominis animus cogitur simul delectari vel dolere ve-

ἆρα ὅπῃ τῳ, καὶ ἡγεῖσθαι χρεὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτο ἀναγκαῖόν τε καὶ ἀληθέστατον εἶναι, οὐχ οὕτως ἔχον. ταῦτα δὲ μάλιστα ὁρατά· ἢ οὔ; Πάνυ γε. Οὐκοῦν ἐν τούτῳ τῷ πάθει μάλιστα καταδεῖται ἡ ψυχὴ ὑπὸ σώματος; Πῶς δή; Ὅτι ἐπιθυμία ἡδονὴ καὶ λύπη ὥσπερ ἧλον ἔχουσα, προσπλοῖ αὐτὼ πρὸς τὸ σῶμα καὶ προσπερονᾷ, καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα ἀληθῆ εἶναι, ἅπερ ἂν καὶ τὸ σῶμα φῇ. ἐκ γὰρ τοῦ ὁμοδοξεῖν τῷ σώματι, καὶ τοῖς αὐτοῖς χαίρειν, ἀναγκάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος γίγνεσθαι, καὶ οἷα μηδέποτε εἰς ᾅδου καθαρῶς ἀφικέσθαι· ἀλλ' ἀεὶ ἀναπλέα τοῦ σώματος ἐξιέναι· ὥστε ταχὺ πάλιν πίπτειν εἰς ἄλλο σῶμα, καὶ ὥσπερ σπειρομένη ἐμφύεσθαι· καὶ ἐκ τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ καὶ μονοειδοῦς συνουσίας. Ἀληθέστατα, ἔφη, λέγεις, ὦ Κέβης, ὦ Σώκρατες.

hementer de re quapiam, & exiſtimare illud, in quo hoc maxime patitur, evidentiſſimum eſſe atque veriſſimum, cum ita minime ſit: hæc autem maxime viſibilia ſunt: an non? Omnino. An non, cum hoc accidat, anima quam maxime devincitur a corpore? Quonam pacto? Quoniam omnis voluptas atque dolor, quaſi clavum habens, *animam* corpori affigit, & *quaſi* fibula connectit, efficitque ut corporea ſit, & exiſtimet ea eſſe vera, quæcunque corpus dictitet. Ex eo enim, quod eadem opinetur cum corpore, iiſdemque oblectetur, cogitur, ut puto, ſtudiorum eorundem ejuſdemque convictus particeps eſſe, taliſque, ut nunquam poſſit pura ad inferos proficiſci; ſed ſemper plena corporis *labe* egrediatur; ideoque cito cadat rurſus in aliud corpus, & quaſi ſata iterum innaſcatur; atque *omnis* propterea cum divina, pura, ſimplicique *eſſentia* commercii expers prorſus evadat. Veriſſima, inquit Cebes, dicis, Socrates.

λδ'. Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ δικαίως φιλομαθεῖς κόσμιοί εἰσι καὶ ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ ἕνεκα φασίν. ἢ σὺ οἴει; Οὐ δῆτα ἔγωγε. Οὐ γάρ· ἀλλ' ὕτω λογίσαιτ' ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου· καὶ οὐκ ἂν οἰηθείη τ' μὲν φιλοσοφίαν χρῆναι ἑαυτῷ λύειν, λυούσης δὲ ἐκείνης, αὐτῷ παραδιδόναι τὰς ἡδοναῖς καὶ λύπαις ἑαυτὸ, πάλιν αὖ ἐγκαταδεῖν, καὶ ἀνήυτον ἔργον πρᾶττειν, Πηνελόπης τινὰ ἐναντίως ἴσον μεταχειριζομένην. Ἀλλὰ γαλήνιον τούτων παραστάζουσα, ἑπομένη τῷ λογισμῷ, καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον θεωμένη, καὶ ὑπ' ἐκείνου τρεφομένη, ζῆν τε οἴεται δεῖν οὕτως, ἕως ἂν ζῇ· κ) ἐπειδὰν τελεύτηση, εἰς τὸ ξυγγενὲς καὶ εἰς τὸ τοιοῦτον ἀφικομένη, ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν. ἐκ δὴ τῆς τοιαύτης τροφῆς οὐδὲν δεινὸν μὴ φοβηθῇ, (ταῦτα δ' ἐπιτηδεύουσα, ὦ Σιμμία τε

34. Horum igitur gratia, Cebes, qui vere ſunt diſcendi cupidi, modeſti forteſque ſunt, non autem illorum, quorum vulgus cenſet, gratia: an tu *iſtorum gratia eos eſſe* putas? Minime quidem. Non certe: ſed ita philoſophi animus ſecum reputaret: nec arbitraretur philoſophiam quidem ipſum ſolvere oportere, cum vero ipſum ea ſolviſſet, ipſum iterum voluptatibus doloribuſque ſe dedere *debere*, quibus rurſus devinciretur, atque irritum opus facere, quaſi telam Penelopes retexentem. At *perturbationum* harum tranquillitatem præſtans, ſequenſque rationem, & ſemper hac in re verſans, verumque & divinum, opinionemque ſupereminens contemplans, & ab eo nutritus, ita vivendum cenſet, quamdiu vivat; atque *ſperat* ſe, ubi deceſſerit, in cognatum atque hujuſmodi *quendam locum* migrantem, ab humanis liberatum fore malis. Ex hujuſmodi igitur educatione periculum non eſt, ne metuat *anima*, (dum hiſce rebus ſe exercet, Simmia

καὶ Κέβης) ὅπως μὴ διαπαρθεῖσα ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος, ὥσπερ ὑπὸ πνεύματος ἀνέμων διαφυσηθεῖσα καὶ διαπλαμένη οἴχηται, καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ.

λε'. Σιγὴ οὖν ἐγένετο, ταῦτα εἰπόντος τοῦ Σωκράτους, ὅπη τολὺν χρόνον. καὶ αὐτός τε ἔοικε πρὸς ᾧ εἰρημένῳ λόγῳ ἦν ὁ Σωκράτης, ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ πλεῖστοι. Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διελεγέσθην. καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο, Τί; ἔφη· ὑμῖν τὰ λεχθέντα μῶν μὴ δοκεῖ ἱκανῶς λέγεσθαι; πολλὰς γὰρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴγε δή τις αὐτὰ μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν λέγω· εἰ δὲ περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ αὐτοὶ εἰπεῖν καὶ διεξελθεῖν, εἴ τι ὑμῖν φαίνεται βέλτιον λεχθῆναι· καὶ αὖ καὶ ἐμὲ ξυμπαραλαβεῖν, εἴ τι μᾶλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν. Καὶ ὁ Σιμμίας ἔφη, Καὶ μήν, ὦ Σώκρατες, ταλήθη σοι ἐρῶ. πά-

atque Cebes) ne in ipſius a corpore diſceſſu diſtracta, & a ventis quibuſdam perflata, evolet atque abeat, neque quicquam uſpiam amplius ſit.

35. Cum hæc Socrates dixiſſet, longum factum eſt ſilentium. Et ipſe quidem Socrates, quæ dicta fuerant, ſecum, ut videbatur, revolvebat, & plerique noſtrum *idem faciebant*. Cebes autem & Simmias paullulum inter ſe colloquebantur. Et hos Socrates intuitus, Quid? inquit; vobiſne quæ dicta ſunt parum ſatis *ad fidem faciendam* dicta eſſe videntur? Multæ enim etiamnum reſtant dubitationes objectioneſque, ſi quis, ut par eſt, iſta ſit perſecuturus. Si igitur aliud quiddam *inter vos* agitatis, nil dico: ſin autem de his, *quæ dicta ſunt*, ambigitis, ne gravemini & ipſi loqui atque percurrere, ſi qua ratione hæc melius dici *poſſe* putatis: quin & me ſocium aſſumite, ſi quid mecum *hac in re* vos melius proceſſuros eſſe exiſtimetis. Verum equidem, inquit Simmias, tibi, Socrates, fatebor. Jam-

λαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν, τὸν ἕτερον πρόθυμον ποιεῖ καὶ κελεύει ἔρεσθαι, διὰ τὸ ὑπιθυμεῖν μὲν ἀκούσαι, ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν ξυμφοράν. Καὶ ὃς ἀκούσας, ἐγέλασέ τε ἠρέμα, καί φησι, Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι, ὡς οὐ ξυμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅπου γε μηδ' ὑμᾶς δύναμαι πείθειν· ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ. καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν· οἱ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθνῄσκειν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι πρὸς τὸν ἑαυτῶν θεὸν ἀπιέναι, οὗπερ εἰσὶ θεράποντες. οἱ δὲ ἄνθρωποι, διὰ τὸ αὐτῶν δέος τὸν θανάτου, καὶ τῶν κύκνων κατηψεύσαντο, καὶ φασὶν αὐτοὺς θρηνοῦντας τὸν θάνατον, ὑπὸ λύπης ᾄδειν. καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει, ὅταν πεινῇ ἢ ῥιγοῖ ἢ

dudum enim uterque noſtrum ambigens, alterum impellit jubetque interrogare, quod audiendi quidem cupidi ſumus, negotium autem faceſſere piget, ne id tibi ob præſentem calamitatem ſit ingratum. Et his ille auditis, leniter arriſit, dicens, Papæ, Simmia; ægre nimirum aliis hominibus perſuaderem, hanc me fortunam haudquaquam adverſam exiſtimare, quando ne vobis quidem id perſuadere poſſum: quippe metuitis, ne difficilior nunc ſim, quam in ſuperiori fuerim vita. Atque, ut apparet, cygnis in divinandi arte inferior vobis videor; qui, ubi ſibi moriendum eſſe ſentiunt, ut in ſuperiori tempore canebant, ita tunc quidem potiſſimum & maxime canunt, læti, quod ad deum, cui ſerviunt, jam migraturi ſint. Homines vero, quoniam ipſi mortem expaveſcunt, cygnos quoque falſo criminantur, dicuntque eos mortem lugentes, præ dolore cantum emittere. Neque animadvertunt nullam avem cantare, quando eſuriat aut rigeat aut

τινα ἄλλῳ λύπῃ λυπῆται, ὅδε αὐτὴ ἥ τε ἀηδὼν καὶ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δὴ φασὶ διὰ λύπην θρηνοῦντα ᾄδειν· ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν, οὔτε οἱ κύκνοι· ἀλλ' ἅτε, οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες, μαντικοί τε εἰσὶ, καὶ προειδότες τὰ ἐν ᾅδου ἀγαθὰ, ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ πρόσθεν χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός γε εἶναι τῶν κύκνων, καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ· καὶ ὑπ' ἐχέτην ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ τότε γε ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾶν ὅ, τι ἂν βούλοισθε, ἕως Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα. Καλῶς, ἔφη, λέγεις, ὁ Σιμμία· καὶ ἐγώ τέ σοι ἐρῶ ὃ ἀπορῶ, καὶ αὗ ὅδε, ἢ οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὥσπερ καὶ σοί· τὸ μὲν σαφὲς εἰδέναι ἢ

quovis alio dolore afficiatur, non ipſam luſciniam nec hirundinem nec upupam, quas quidem ferunt præ mœrore cantare lugentes: at mihi neque hæ *aves* præ dolore videntur canere, neque cygni: ſed, utpote Phœbo, opinor, ſacri, divinatione præditi ſunt, & quum bona, quæ apud inferos ſunt, præviderint, & cantant alacrius & magis geſtiunt ea die quam in ſuperiore tempore. Ego vero & ipſe arbitror me cygnorum eſſe conſervum, eidemque deo ſacrum; neque divinandi artem ab *eodem* domino minus quam illos habere, neque me iniquiori animo e vita decedere. Quapropter oportet vos & dicere & interrogare quicquid libet, quamdiu Athenienſium undecim viri ſinant. Præclare, inquit Simmias, loqueris: & tum ego tibi dicam, qua in re dubitem, tum rurſus hic *Cebes*, quatenus ea, quæ dicta ſunt, non admittat. Mihi enim, Socrates, de hiſce rebus, quemadmodum & tibi forſan, videtur; certam quidem earum cognitionem in

τῷ νῦν βίῳ, ἢ ἀδύνατον εἶναι, ἢ παγχάλεπόν τι· ὃ μύθοις αὖ τὰ λεγόμενα περὶ αὐτῶν, μὴ οὐχὶ πάντι τρόπῳ ἐλέγχειν, καὶ προαφίσθαι πρὶν ἂν παντάχῃ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός. δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπη ἔχει, ἢ εὑρεῖν· ἢ, εἰ ταῦτα ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυσεξελεγκτότατον, ὅπῃ τούτῳ ὀχούμενον, ὥσπερ ὅπῃ σχεδίας, κινδυνεύοντα διαπλεῦσαι τὸν βίον· εἰ μή τις δύναιτο ἀσφαλέστερον καὶ ἀκινδυνότερον, ὅπῃ βεβαιοτέρῳ ὀχήματι· ἢ λόγῳ θείῳ τινὸς ἐξαπορευθεῖσαι. καὶ δὴ καὶ νῦν ἔγωγε οὐκ ἐπαισχυνθήσομαι ἔρεσθαι, ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδὲ ἐμαυτὸν αἰτιάσομαι ἐν ὑστέρῳ χρόνῳ, ὅτι νῦν οὐκ εἶπον ἃ μοι δοκεῖ. ἐμοὶ γάρ, ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς εἰρῆσθαι.

Toup in Suid. T. I. p. 20. Wesseling. in Herod. p. 422.

vita præsenti, aut nullo modo, aut summa cum difficultate haberi posse: quæ vero de his dicuntur, ea non omni modo explorare, & desistere priusquam usquequaque examinando aliquis defatigetur, mollis omnino esse viri. Oportet enim in rebus hisce horum alterutrum efficere, aut discere vel invenire quemadmodum se habeant; aut si hæc fieri nequeant, optima certe, & quæ minime refutari possit, rationum humanarum electa, hac, tanquam rate, vectum, *hoc modo* periclitantem, vitam pertransire; nisi quis firmiori quodam vehiculo vel divino aliquo sermone tutius ac minori cum periculo transvehi possit. Itaque ego ne nunc quidem verebor interrogare, cum & ipse hæc dicas, neque *ita agam*, ut me ipsum in posterum culpaturus sim, quod nunc, quæ mihi videantur, non dixerim. Nam mihi, & mecum, Socrates, & una cum hoc Cebete quæ dicta sunt reputanti, haud satis prorsus confirmata videntur.

λε'. Καὶ ὁ Σωκράτης, Ἴσως γάρ, ἔφη, ὦ ἑταῖρε, ἀληθῆ σοι φαίνεται· ἀλλὰ λέγε ὅπη δὴ οὐχ ἱκανῶς. Ταύτῃ ἔμοιγε, ἦ δ' ὅς, [1] ἤδη καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι· ὡς ἡ μὲν ἁρμονία ἀόρατόν τι καὶ ἀσώματον, καὶ πάγκαλόν τι καὶ θεῖόν ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ· αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαί, σώματά τε καὶ σωματοειδῆ, καὶ σύνθετά τε καὶ γεώδη ἐστὶ καὶ τοῦ θνητοῦ ξυγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν, ἢ ἀφαιρῇ καὶ ἀφαρπάξῃ τὰς χορδάς, εἰ τις διϊσχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥσπερ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην, καὶ μὴ ἀπολωλέναι, (οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν λύραν ἔτι εἶναι, διερρωγυιῶν τῶν χορδῶν, καὶ τὰς χορδὰς, θνητοειδεῖς οὔσας· τὴν δ' ἁρμονίαν ἀπολωλέναι, τὴν τοῦ θείου τε καὶ ἀθανάτου ὁμοφυῆ τε καὶ ξυγγενῆ, πρότερον τοῦ θνητοῦ ἀπολομένην)

νζ'. Ἀλλὰ τόδ', ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι εἴπερ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐπιμελείας δὴ δεῖται, οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός· καὶ ὁ κίνδυνος νῦν δὴ χὴ δόξειεν ἂν μάλιστα δεινὸς εἶ), εἴ τις αὐτῆς ἀμελήσειεν. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἔρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι, τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι, καὶ τῶν αὐτῶν κακίας, μετὰ τῆς ψυχῆς· νῦν δὲ ἐπειδὴ ἀθάνατος φαίνεται ἅσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν, οὐδὲ σωτηρία, πλὴν ὡς βελτίστην τε χὴ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς ἅιδου ἡ ψυχὴ ἔρχε-

Simmia, inquit Socrates, ſed & primæ illæ poſitiones, quamvis fide nobis dignæ videantur, planius tamen conſiderandæ: atque ſi de illis ſatis diſquiſieritis, ſequemini, ut opinor, rationem, quantum quidem eam aſſequi homini licet. Quod ſi hoc ipſum fuerit manifeſtum, nihil ulterius perquiretis. Vera, inquit, loqueris.

57. Hoc autem, viri, inquit, æquum eſt cogitare, ſiquidem anima eſt immortalis, eam non ſolum temporis hujus, quod vivere dicimus, verum etiam univerſi ratione habita, cura certe indigere: & grave admodum jam periculum fore putandum eſt, ſi quis eam neglexerit. Si enim mors totius *hominis* diſſolutio eſſet, inopinatum improbis, cum mortui ſint, lucrum eſſet, & a corpore ſimul & ab ipſorum improbitate cum anima liberari: nunc autem, cum *animam* immortalem eſſe appareat, nullum ei ſupereſt malorum perfugium neque ſalus, niſi ut optima ipſa & prudentiſſima evadat. Nihil enim aliud anima, cum ad inferos proficiſci-

ται, πλεῖστον τῆς παιδείας τε καὶ τροφῆς· ἃ δὴ καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγεται δὲ οὕτως· ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ αὐτὸ ξυλλεγέντας ὑφ' ἑνὸς ἡγεμόνος εἰς ᾅδου πορεύεσθαι μετ' ἐκείνου, ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. τυχόντας δ' ἐκεῖ ὧν δεῖ τυχεῖν, καὶ μείναντας ὃν χρὴ χρόνον, ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει, ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει. ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμον φησὶν εἰς ᾅδου φέρειν· ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. οὐδὲ γὰρ ἂν ἡγεμόνων ἔδει· οὐδὲ γάρ που τις ἂν ἁμάρτοι οὐδαμόσε, μιᾶς ὁδοῦ οὔσης. νῦν δὲ ἔοικε λύσεις τε καὶ περιόδους πολλὰς ἔχειν. ἀπὸ τῶν ὁσίων τε καὶ νομίμων τῶν ἐνθά-

tur, ſecum affert, præter inſtitutionem atque educationem: quæ quidem ſtatim in principio migrationis illius mortuo plurimum prodeſſe vel obeſſe dicuntur. Ita enim fertur; *nimirum* mortuorum unumquemque dæmonem eum, qui viventem illum ſortitus erat, in locum quendam ducere aggredi, ubi oportet omnes una collectos, poſtquam judicium ſubierint, ad inferos proficiſci, cum duce iſto, cui mandatum eſt, ut hinc *decedentes* illuc traducat. Sortitos vero illic, quæ ſortiri oportet, tempuſque debitum commoratos, alius quidam dux rurſus huc reducit, poſt multos longoſque temporis circuitus. Eſt autem iter non tale, quale ait Telephus apud Æſchylum. Ille ſiquidem ſimplicem inquit viam ad inferos ducere: ego vero neque ſimplicem neque unam puto. Neque enim ducibus opus eſſet; neque quis uſpiam aberrare poſſet, ſi unica eſſet via. Nunc autem videtur multa divortia & anfractus habere. Hoc ex ſacris ritibuſque noſtris con-

δε τεκμαιρόμενος λέγω. ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε, καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δὲ ὑπὸ θυμοειδοῦς τοῦ σώματος ἔχουσα (ὅπερ ἐν τῷ πρόσθεν εἶπον) περὶ ἐκεῖνο πολὺ χρόνον ἐπόθησε, καὶ περὶ τὸν ὁρατὸν τόπον πολλὰ ἀντιτείνασα καὶ πολλὰ παθοῦσα, βίᾳ καὶ μόλις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται ἀγομένη. ἀφικομένην δὲ ὅθιπερ αἱ ἄλλαι, τὴν μὲν ἀκάθαρτον καί τι πεποινκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην, ἢ ἄλλα ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑποκτρέπεται, καὶ οὔτε ξυνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι· αὐτὴ δὲ πολλῶν ἐν πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται· οὓς ἐξελθόντων, ὑπ' ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν. ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦ-

jecturam faciens, dico. Anima ergo moderata & prudens *ducem* ſponte ſequitur, neque præſentia ignorat: quæ vero cupiditate corporis tenetur, (quemadmodum ſupra dixi) in ipſo per multum tempus ardentius ſtupet, & circa locum viſibilem multis reluctata modis, multaque perpeſſa, vi & vix tandem ab eo abducitur dæmone, cui ipſius demandata eſt cura. Cum vero ad ea loca, ubi aliæ quoque animæ ſunt, pervenerit, impuram quidem hanc, & hujuſmodi criminibus obnoxiam, quæ *nimirum* vel injuſtis ſe contaminaverit cædibus, vel alia harum rerum germana, germanarumque animarum opera perpetraverit, hanc, *inquam*, *animam* omnes fugiunt atque averſantur, neque datur qui ei vel comes vel dux fieri vult: ipſa autem in ſummas omnino anguſtias adducta, eo uſque pererrat, donec certa temporum ſpatia completa ſint: quibus tandem exactis in habitationem ipſi convenientem a neceſſitate fertur. Quæ vero puram & modeſtam tranſ-

σα, καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα, ᾤκησε τὸν αὐτῇ ἐκάστῃ τόπον προσήκοντα.

νη'. Πολλοὶ δὲ εἰσι καὶ θαυμασοὶ τῆς γῆς τόποι· καὶ αὐτὴ, οὔτε οἵα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγώ τού τινος πέπυσμαι. Καὶ ὁ Σιμμίας, Πῶς ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρατες; περὶ γάρτοι τῆς γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα· οὐ μέντοι ταῦτα, ἃ σε πείθει. ἡδέως ἂν οὖν ἀκούσαιμι. Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἅττ' ἔστιν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην. καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τε εἴην, ἅμα δὲ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμὸς, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπυσμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς, οὐδέν με κωλύει λέγειν. Ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρ-

egerit vitam, deos duces & comites nacta, in eo, qui unicuique convenit, loco habitat.

58. Multa vero ſunt mirabiliaque terræ loca; ipſaque neque talis neque tantula eſt, qualem quantamque ii, qui de terra ſolent diſſerere, exiſtimant, quemadmodum mihi a quodam perſuaſum eſt. Quanam ratione, inquit Simmias, hæc, Socrates, ais? Nam ipſe quoque de terra multa quidem audivi; non tamen hæc *forſan*, quibus tu fidem adhibuiſti. Libenter igitur ex te audirem. Atqui, Simmia, nequaquam mihi artis Glauci eſſe videtur, quæ ea ſint, narrare; ſed vera hæc eſſe *probare*, artem Glauci mihi videtur ſuperare. Præterea tum ego forſan *id præſtare* non poſſem, tum, etiamſi iſta ſcirem, hæc tamen vita mea, Simmia, orationis magnitudini nequaquam videtur ſufficere. Formam tamen terræ ejuſq; loca cujuſmodi eſſe mihi perſuaſum eſt, nihil prohibet dicere. At hæc, inquit Simmias, ſatis

1 Forſan πέπεισμαι. 2 Forſ. πέπεισμαι.

κεῖ. Πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγώ, ὡς πρῶτον μέ, εἰ ἔστιν ἐν μέσῳ τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν, μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης· ἀλλὰ ἱκανήν γε εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ ἑαυτῷ πάντη, καὶ τὴν γῆς αὐτῆς τὴν ἰσορροπίαν. ἰσόρροπον γὰρ πρᾶγμα, ὁμοίου που ἐν μέσῳ τεθέν, οὐκ ἔξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι· ὁμοίως δ' ἔχον, ἀκλινὲς μενεῖ. πρῶτον μέν, ἦ δ' ὅς, τοῦτο πέπεισμαι. Καὶ ὀρθῶς γ', ἔφη ὁ Σιμμίας. Ἐπὶ τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό· καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρις Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος, ἐν σμικρῷ τινὶ μορίῳ, ὥσπερ περὶ τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν οἰκοῦντας· καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς τοιούτοις τόποις οἰκεῖν. εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα, καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη· εἰς ἃ ξυνερρυηκέναι τό, τε ὕδωρ καὶ τὴν ὀμίχλην, καὶ τὸν ἀέρα. αὐτὴν

erunt. Perſuaſum ergo mihi eſt, inquit ille, primo, ſi *terra* eſt in cœli medio rotunda, nihil ei opus eſſe vel aere vel alia neceſſitate ejuſmodi, ut ne decidat: ſed ad eam ſuſtinendam ſatis eſſe cœli undique ſibi ipſi ſimilitudinem, & terræ ipſius æquilibritatem. Res enim æquilibris in congeneris alicujus medio poſita, nullam in partem aut magis aut minus poteſt inclinare: at cum ſimiliter *undequaque* ſe habeat, inclinationis expers permanet. Primum quidem, inquit, mihi id ita eſſe perſuaſum eſt. Et recte quidem, inquit Simmias. Præterea, inquit, ingens quiddam prorſus ipſam eſſe; noſque, qui loca a Phaſide ad columnas Herculeas incolimus, parvam quandam ejus particulam habitare, circa mare *Mediterraneum* habitantes, ceu formicas aut ranas circa paludem; alioſque alibi multo multa loca ſimilia incolere: eſſe enim paſſim circa terram multa concava, formiſque & molibus omnigenis; in quæ aqua, caligo, & aer confluant. Ipſam

δὲ τὴν γῆν, καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπερ ἐστὶ τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν τοὺς πολλοὺς τῶν περὶ τὰ τοιαῦτα εἰωθότων λέγειν. ὃ δὴ ὑποπάθημιν ταῦτα εἶναι, καὶ ξυρρεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λελῆθέναι, καὶ οἴεσθαι ἄνω οὐκ τῆς γῆς οἰκεῖν. ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τῆς πελάγους οἰκῶν, οἴοιτό τε οὐκ τῆς θαλάττης οἰκεῖν, καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα ἄστρα, τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι· διὰ δὴ βραδυτῆτά τε καὶ ἀσθένειαν, μηδεπώποτε ἐπὶ τὰ ἄκρα τῆς θαλάττης ἀφιγμένος, μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσῳ καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσιν, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος. ταυτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι. οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς, οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωρεῖν. ὃ δὲ εἶναι ταυτὸν,

vero terram, puram in puro jacere cœlo, in quo ſunt aſtra, quem plerique eorum, qui hæc tractant, ætherem nominant. Cujus quidem fæcem hæc eſſe, ſemperque in concavas terræ partes confluere. Nos itaque, noſmet in concavis ejus habitare, neſcire, & ſuperiora terræ loca nos incolere arbitrari: perinde ac ſi quis in medio maris fundo habitans, putet ſe altiora maris incolere; atque ſolem cæteraque aſtra per mare proſpiciens, mare cœlum eſſe exiſtimet; præterditate autem imbecillitateque nunquam ad ſummum maris evaſerit, neque e mari in hunc locum emergens, aſpexerit, quanto hic illo ſuo purior pulchriorque ſit, nec ab alio, qui hunc intuitus ſit, acceperit. Hoc igitur idem & nobis accidere: cum enim in quadam concava terræ parte habitemus, ſuperiora nos ejus loca incolere arbitrari, atque aerem cœlum nominare, quaſi per ipſum, tanquam cœlum, aſtra mearent. Hoc autem eodem etiam modo nobis accidere,

ὑπ' ἀσθενείας καὶ βραδυτῆτος οὐκ οἴδ' εἰ ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα. ἐπεί, εἴτις αὐτῶ ἐπ' ἄκρα ἔλθοι, ἢ πτεροὺς ῥώμενος ἀνάπτοιτο, [1] κατιδεῖν ἀνακύψαντα, ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, ὅπως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν· καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀναχαίτης θεωρῶσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθινὸς οὐρανὸς, καὶ τὸ ἀληθινὸν φῶς, καὶ ἡ ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι, καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε, διεφθαρμένα ἐστὶ καὶ κατεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης· καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι· σήραγγες δὲ καὶ ἄμμος, καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ ἡ γῆ ᾖ· καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια. ἐκεῖνα δὲ αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον φέροι διαφέρειν. εἰ γὰρ δεῖ

nos *nempe* præ imbecillitate & tarditate ad ſupremum uſquè aerem tranſcendere non poſſe. Alioqui ſi quis ad ſumma ejus evaderet, vel alatus factus eo pervolaret, hæc emergentem illum conſpecturum; & quemadmodum piſces huc e mari emergentes noſtra hæc conſpiciunt, ſic & illum ea, quæ illic ſunt, conſpecturum: ac ſi natura ejus ad inſpiciendum ſufficeret, cogniturum, illum verum eſſe cœlum, veramq; lucem, & veram quoque terram. Siquidem hæc, *quæ a nobis incolitur*, terra, & hi lapides, totuſque hic locus, corrupta ſunt atque adeſa, quemadmodum ea quæ in mari ſunt a ſalſugine: neque naſcitur in mari quicquam exiſtimatione dignum; neque, ut verbo dicam, perfectum quicquam eſt: ſed cavernæ, arena, limus infinitus, atque ſordes ſunt, ubicunque ſit & terra: neque quidem ad hanc rerum noſtrarum pulchritudinem ullo modo ſunt comparanda. Illa autem rurſus hiſce noſtris multo magis adhuc præſtare apparebunt. Si enim fabulam

1 Forſan κατιδεῖν ἂν *Steph.*

καὶ μῦθον λέγειν καλὸν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ὑπὸ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Ἀλλὰ μήν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τοῦτο τὸ μῦθο ἡδέως ἂν ἀκούσαιμεν.

νθ'. Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι) τοιαύτη ἡ γῆ αὐτη ἰδεῖν, εἴτις ἄνωθεν αὐτὴν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη· ὧν καὶ τὰ ἐνθάδε εἶναι) χρώματα ὥσπερ δείγματα, οἷς δὴ οἱ γραφεῖς κεχρῶνται. ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι· καὶ πολὺ ἔτι ἐκλαμπρότερων καὶ καθαρωτέρων ἢ τούτων. τὴν μὲν γὰρ, ἁλουργῆ εἶναι, καὶ θαυμαστὴν τὸ κάλλος· τὴν δὲ, χρυσοειδῆ· τὴν δὲ ὅση λευκὴ, γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων συγκειμένην ὡσαύτως, καὶ εἶναι πλειόνων καὶ καλλιόνων, ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔμπλεα ὄντα, χρώματός τι

etiam narrare decet perpulchram, operæ pretium, Simmia, eſt audire, qualia ſint ſuperiora iſta terræ *loca*, quæ cœlo ſubjacent. Imo vero, Socrates, inquit Simmias, libentiſſime quidem hanc fabulam audiemus.

59. Ferunt igitur, amice, inquit, primum quidem talem videri terræ illius faciem, ſiquis ipſam ſuperne deſpiciat, quales eæ ſunt pilæ, quæ ex coriis duodecim contextæ ſunt, variam *ſcilicet* & coloribus diſtinctam; quorum quaſi ſpecimina ſunt hi noſtri colores, quibus pictores utuntur. Illic vero univerſam terram ex talibus, multoque etiam hiſce nitidioribus ac purioribus conſtare: partim quidem purpuream & mira pulchritudine præditam; partim vero coloris aurei; partim gypſo aut nive candidiorem, & ex coloribus cæteris ſimiliter compoſitam, iiſq; pluribus etiam & pulchrioribus, quam quos ipſi *unquam* vidimus. Etenim ipſas haſce concavas ejus partes, aqua aereque repletas, ſpeciem quan-

εἶδος παρέχεσθαι, τίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ· ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ ἀνάλογον τὰ φύματα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τὴν τελειότητα καὶ τὴν διαφάνειαν, καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα, μόρια, σαρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους, καὶ πάντα τὰ τοιαῦτα. ἐκεῖ δὲ οὐδὲν ὅτι μὴ τοιοῦτον εἶναι, καὶ ἔτι τούτων καλλίω. ὃ δ' αἴτιον τοῦτο εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι, καὶ οὐ κατεδηδεσμένοι, οὐδὲ διεφθαρμένοι, ὥσπερ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἁλμυρὶς, ὑπὸ τῶν δεῦρο ξυνερρυηκότων, ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἶσχη τε καὶ νόσους παρέχει. τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι, καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ, καὶ τοῖς ἄλλοις αὐτοῖς τοιούτοις. ἐκφανῆ γὰρ αὐτὰ πεφυκέ-

dam coloris exhibere, inter colorum aliorum varietatem ſplendentes; adeo ut una quædam *eademque* ejus facies varia ſemper appareat. Cum vero ipſa talis ſit, quicquid etiam in ea naſcitur, & eadem ratione naſci, arboreſque & flores & fructus: monteſque item & lapides ſimiliter perfectos eſſe, atque pellucidos, coloribuſque pulchrioribus ornatos; quorum quidem particulæ quædam ſunt lapilli hi, qui apud nos in pretio habentur, ſardiique & iaſpides & ſmaragdi, cæterique ejuſmodi. Illic vero nihil eſſe, quod non tale ſit, atque etiam *alia* eſſe hiſce pulchriora. Hujus autem rei hanc cauſam eſſe, quod lapides illi puri ſint, neque, quemadmodum noſtri, putredine ſalſugineque exeſi atque corrupti ex rebus iis, quæ huc confluunt, quæ & lapidibus & terræ cæteriſque tum animalibus tum plantis, ſordes morboſq; pariunt. Terram vero ipſam hiſce omnibus exornari, atque auro etiam & argento, cæteriſque ſimilibus. Eminentia etenim ipſa natura

ναι, ὄντα πολλὰ πλήθει καὶ μεγάλα, καὶ πανταχῇ τῆς γῆς· ὥστε αὐτὴν ἰδεῖν, εἴ τῳ θέαμα εὐδαιμόνων θεατῶν. ζῶα δ' ἐπ' αὐτῆς εἶναι ἄλλά τε πολλὰ, καὶ ἀνθρώπους, τοὺς μέν, ἐν μεσογείᾳ οἰκοῦντας, τοὺς δὲ, περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν· τοὺς δὲ, ἐν νήσοις, ἃς περιῤῥεῖν τὸν ἀέρα, πρὸς τῇ ἠπείρῳ οὔσας. καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ τε καὶ ἡ θάλαττά ἐστι πρός τε τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα· ὃ δὲ ἡμῖν ἀήρ, τοῦτο ἐκείνοις τὸν αἰθέρα. τοὺς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι, καὶ χρόνον τε ζῆν πολὺ πλείω τοῦ ἐνθάδε· καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει, ἥπερ ἀήρ τε ὕδατος ἀφέστηκε, καὶ αἰθὴρ ἀέρος πρὸς καθαρότητα. καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι· ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι· καὶ φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν, καὶ τοιαύτας συνουσίας γίνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶ-

esse, multaque numero & magna, & ubique per terram; ut eam videre spectatorum felicium sit spectaculum. In ipsa autem & alia animalia multa esse, & homines, alios regionem mediterraneam incolentes, alios circa aerem, quemadmodum nos circa mare; alios etiam, insulas, quas haud procul a continenti positas aer circumfluit. Et, ut summatim dicam, quod nobis aqua est & mare ad usus nostros, idem illic esse aerem: quod vero nobis aer, id illis ætherem esse. Anni vero tempestates talem apud illos habere temperiem, ut illi & morbis careant, & longe diutius quam hi nostri vivant; & visu, auditu, prudentia, cæterisque talibus tanto nobis intervallo præstare, quantum & aer aquæ, & æther aeri puritate præstat. Præterea & illis deorum lucos & fana esse, in quibus dii revera habitent; & responsa item & divinationes deorumque sensus, & hujusmodi consuetudines ipsis cum iis esse: solem quoque & lunam stellasque, qua-

θαι ὑπ' αὐτῶν, οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν ἀκόλουθον εἶναι.

ξ'. Καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι, καὶ τὰ περὶ τὴν γῆν· τόπους δ' ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς, κύκλῳ περὶ ὅλην, πολλούς· τοὺς μέν, βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν· τοὺς δὲ, βαθυτέρους ὄντας, τὸ χάσμα αὐτοὺς ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου. ἔτι δ' οὓς καὶ βαθυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους. τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ κατὰ στενότερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν. ἦ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους, ὥσπερ εἰς κρατῆρας· καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν· πολὺ δὲ πῦρ, καὶ πυρὸς μεγάλους ποταμοὺς, πολλοὺς δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου καὶ βορ-

les revera ſunt, ab iis videri, & in cæteris felicitatem ipſorum *hiſce rebus* conſentaneam eſſe.

60. Atque ita quidem univerſam terram eſſe natura comparatam, & quæ circa eam ſunt: eſſe autem in ipſa, *nempe* in concavis ipſius partibus, loca in univerſo ipſius ambitu multa; partim quidem profundiora atque ampliora, quam *hic locus eſt*, quem nos incolimus, partim vero, profundiora quidem, ſed hiatum anguſtiorem habentia hoc noſtro loco: eſſe & alicubi quædam hoc noſtro minus profunda & ampliora. Hæc autem omnia ſub terra invicem multis in locis perforata eſſe, *foraminibus* partim anguſtioribus, partim amplioribus, & canales habere: qua magna aquarum copia ex aliis in alia *terræ concava*, velut in crateres, confluat; & perennium fluminum ſub terra moles immenſas, aquarum tum calidarum, tum frigidarum; plurimumque ignem, & ignis ingentes amnes; & multos quoque luti liquidi, partim quidem purioris, partim vero

βορωδεστέρου· ὥσπερ ἐν Σικελίᾳ οἱ ὑπὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοί, καὶ αὐτὸς ὁ ῥύαξ. ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πλήρους, ὧν ἂν ἑκάστοις τύχοι ἑκάστοτε ἡ περίρροὴ γιγνομένη. ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω, ὥσπερ αἰώρα τινὰ οὖσαν ἐν τῇ γῇ. ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα καὶ φύσιν τοιάνδε τινὰ ἔν τι τῶν χασμάτων τῆς γῆς, [1]ἄλλως τε μέγιστον τυγχάνει ὄν, καὶ διαμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς. τοῦτο ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτό,

Τῆλε μάλ', ἠχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. εἰς γὰρ τοῦτο τὸ χάσμα συῤῥέουσί τε πάντες οἱ ποταμοί, καὶ ἐκ τούτου πάλιν πάντες ἐκρέουσι. γίγνονται δὲ ἕκαστοι τοιοῦτοι, δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. ἡ δ' αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν ὁ ὑγρὸν τοῦτο. αἰωρεῖται δὴ καὶ

magis cœnosi; quemadmodum in Sicilia amnes luti, qui ante *ignis* torrentem profluunt, & ipse torrens: quibus singula complentur loca, quacunque ii singulis temporibus circumfluant. Hæc autem omnia sursum deorsumque ferri, veluti ab oscillo quodam in terra posito. Est autem oscillum id, ob naturam quandam hujusmodi, unus aliquis ex terræ hiatibus, qui & omnino maximus est, & per universam terram perforatus. De quo Homerus ita dicit,

Longe admodum, qua profundissimum sub terra barathrum est.

Quod & ipse alibi & alii poetarum multi Tartarum appellarunt. In hunc enim hiatum omnia confluunt flumina, atque inde rursus effluunt. Talia vero fiunt singula, per qualem labuntur terram. Quod autem hinc effluant omnia rursusque refluant, hæc est causa, quod hic humor nec fundum nec basim habet. Itaque elevatur &

1 Forsan ὃ ἄλλως. *Steph.*

κυμαίνει ἄνω καὶ κάτω· καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸν, ταυτὸν ποιεῖ. ξυνέπεται γὰρ αἰτῷ καὶ ὅταν εἰς τὸ ἐπέκεινα τῆς γῆς ὁρμήσῃ, καὶ ὅταν εἰς ὃ νῦν δὴ τάδε. καὶ ὥσπερ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα, οὕτω καὶ ἐκεῖ ξυναιωρούμενον τῷ ὑγρῷ τὸ πνεῦμα δεινοὺς πνοὰς ἀνέμους καὶ ἀμηχάνους παρέχεται, καὶ εἰσιὸν καὶ ἐξιόν. ὅταν τε οὖν ὁρμῆσαν ἐκποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα ἀφ' τῆς γῆς εἰσρεῖ τε καὶ πληροῖ αὐτὰ, ὥσπερ ἃ ἐπαντλοῦντες. ὅταν τε αὖ ἐκεῖθεν μὲν ἀπολίπῃ, δεῦρο δὲ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις. τὰ δὲ, πληρωθέντα, ῥεῖ ἀφ' τῶν ὀχετῶν καὶ ἀφ' τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα, εἰς οὓς [1] ἕκαστος ὁδοποιεῖται, θαλάττας τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ. ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν, μακρο-

ſurſum deorſumque fluctuat; idemque facit aer atque ſpiritus, qui circa ipſum eſt. Sequitur enim ipſum, & quando ad ulteriora terræ loca, & quando ad hæc noſtra prorumpit. Et quemadmodum in reſpirando ſpiritus fluxu *alterno* ſemper redditur & attrahitur, ſic ibi ſpiritus una cum humore elatus, vehementes quoſdam ventos & incredibiles commovet, dum & ingreditur & egreditur. Cum ergo aqua, impetu facto, in locum, quem inferiorem appellamus, delabitur, in loca illa per terram rivi influunt, & ipſa implent, velut ii qui aquam antlia hauriunt. Cum vero illinc diſcedens huc erumpat, hæc quoque iterum *flumina* complet. Hæc vero cum plena ſint, per canales terramque fluunt, & cum ſingula illuc profluxerint, quo unicuique patefacta eſt via, maria, lacus, fluvios, fonteſque efficiunt. Hinc autem rurſus relabentia ſubter terram, partim quidem per lon-

1 Forſan ἑκάστοις.

τέρας τόπους διελθόντα καὶ πλείους, τὰ δὲ, ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει· τὰ μὲν, πολὺ κατωτέρω ἢ ἐπηύλεῖτο, τὰ δὲ, ὀλίγον. πάντα δὲ ὑποκάτω εἰσρεῖ τ ἐκροῆς. καὶ ἔνια μὲν καταντικρὺ ἢ εἰσρεῖ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος. ἔστι δὲ ἃ πανταπάσι κύκλῳ διελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις διελιχθέντα περὶ τ γῆν, ὥσπερ οἱ ὄφεις, εἰς ὃ δυνατὸν κάτω καμφθέντα, πάλιν ἐμβάλλει, ἢ δυνατόν ἐστιν ἑκατέρωσε μέχρι τ μέσου καπέναι, πέρα δ' οὔ. ἄνωθεν γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι ὃ ἑκατέρωθεν γίγνεται μέρος.

ξα'. Τὰ μὲν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυχὸν δ' ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρ' ἄττα ῥεύματα, ὧν ὃ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον περικύκλῳ, ὁ καλούμενος Ὠκεανός ἐστι. τούτου δὲ κατανικρὺ καὶ ἐναντίως ῥέων, Ἀχέρων· ὃς δι' ἐρήμων τόπων ῥεῖ ἄλλων, καὶ

giores pluresque locos, partim vero per pauciores atque breviores circumeuntes, rursus in Tartarum confluunt: alia quidem multo profundius quam hausta erant, alia vero paulo: omnia autem inferius influunt, quam effluxerant: & alia per contrariam partem, quam qua influxerant, effluunt, alia vero per partem eandem. At quædam prorsus circumfluentia, aut semel aut etiam sæpius sese circa terram, instar anguium, circumplicantia, quantum fieri potest infra deflexa, iterum infunduntur; quatenus licet in utramque partem, donec ad medium usque defluxerint, ultra vero nequaquam. Utrisque enim rivis *terræ* pars altera est acclivis.

61. Cætera quidem flumina multaque & magna & varia sunt: inter hæc autem omnia quatuor quædam flumina sunt, quorum quidem maximum, & quod extimum *terram* circumfluit, Oceanus appellatur. Huic vero ex adverso motuque contrario fluit Acheron: qui cum per deserta alia fluit loca, tum

δὴ ϗ ὑπὸ γῆν ῥέων, εἰς τ̓ λίμνην ἀφικνεῖ τ̓ Αρχερουσιάδα· ὃ αἱ τ̃ τετελευτηκότων ψυχαὶ τ̃ πολλῶν ἀφικνοῦνται· ϗ πνας εἱμαρμένους χρόνους μείνασαι, αἱ μὲν, μακροτέρους, αἱ δὲ, βραχυτέρους, πάλιν ἐκπέμπον᾽ εἰς τὰς τ̃ ζώων γενέσεις. τρίτος δὲ ποταμὸς τούτων μετ᾽ μέσον ἐκβάλλει, ϗ ἐγγὺς τ̃ ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν, πυρὶ πολλῷ καιόμενον, ϗ λίμνην ποιεῖ μείζω τ̃ παρ᾽ ἡμῖν θαλάττης, ζέουσαν ὕδατος ϗ πηλοῦ. ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς ϗ πηλώδης· περιελιττόμενος δὲ τῇ γῇ, ἄλλοσέ τε ἀφικνεῖται, ϗ παρ᾽ ἔσχατα τ̃ Αχερουσιάδος λίμνης, οὐ ξυμμιγνύμενος τῷ ὕδατι. περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς, ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου. Οὗτος δ᾽ ἐστὶν ὃν ἔπι ἐπονομάζουσι Πυριφλεγέθοντα· ὧ ϗ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν, ὅπη ἂν τύχωσι τ̃ γῆς. τοῦτον δ᾽ αὖ καλαπτικὸν, ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε ϗ ἄγριον, ὡς λέγε᾽, χρῶμα δὲ ἔχοντα ὅλον οἷον ὁ κυανός· ὃν

subter terram fluens, in paludem devenit Acheruſiam: quo plerorumque omnium defunctorum animæ deveniunt; ibique deſtinata quædam ſpatia commoratæ, aliæ quidem longiora, aliæ breviora, rurſus in generationes animantium emittuntur. Tertius vero fluvius horum medius effluit; nec longe ab exitu ſuo *progreſſus*, in locum cadit vaſtum, multo igne flagrantem, efficitque paludem noſtro mari majorem, aqua lutoque ferventem. Hinc vero turbidus lutulentuſque progreditur; terraque circumdata, cum alio tum ad extrema paludis Acheruſiæ pervenit, nec tamen cum illius aqua miſcetur: ſed ſub terra ſæpius revolutus, in Tartari inferiora influit. Is vero eſt, quem Pyriphlegethontem etiamnum nominant; cujus fluenta avulſos etiam rivos emittunt, quocunque terrarum ſe obtulerint. Ex adverſo autem huic *fluvius* quartus primum in locum erumpit horridum & aſperum, ut ferunt, totum vero colore cyaneo tinctum; quem

δὴ ἐπονομάζουσι Στύγιον· καὶ τὴ λίμνην ποιῇ ὁ ποταμὸς ἐμβάλλων, Στύγα. ὁ δ' ἐμπεσὼν ἐνταῦθα, καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δύς κτ τ γῆς, ὑπιελιπόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι, καὶ ἀπαντᾷ ἐν τῇ Αχερουσιάδι λίμνῃ ἐξ ἐναντίας. καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν, ἐμβάλλει εἰς τὸν Τάρταρον, ἐναντίως τῷ Πυριφλεγέθοντι. ὄνομα δὲ τούτῳ ἐστὶν, ὡς οἱ ποιηταὶ φάσκουσι, Κωκυτός.

ξϛ'. Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον, οὓς ὁ δαίμων ἕκαστον κομίζῃ, πρῶτόν μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως καὶ δικαίως βιώσαντες, καὶ οἱ μή. καὶ οἱ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Αχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ὅπῃ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην· καὶ ἐκεῖ οἰκοῦσί τε, καὶ καθαιρόμενοι, τά τε ἀδικήματα διδόντες δίκας, ἀπολύονται, εἴ τις τι ἠδίκησε· τῶν

quidem Stygium nominant: atque hic fluvius influens paludem efficit Stygem. In hanc vero incidens, viribusque ingentibus in ejus aqua collectis, sub terra se condit, & circumvolutus, cursu Pyriphlegethonti adverso incedit, & in Acherusia palude e contraria parte illi occurrit. Nec ulli hujus aqua miscetur, sed & hic revolutus in gyrum ex adverso Pyriphlegethonti in Tartarum influit. Ipsius autem nomen, quemadmodum aiunt poetæ, Cocytus est.

62. Hisce natura ita constitutis, quando in eum locum defuncti pervenerint, quo dæmon unumquemque deducit, primo quidem judicium subeunt tum qui honeste, sancte, & juste, tum qui aliter vixerint. Ac quicunque mediocriter vixisse comperiantur, ad Acherontem profecti, vehiculis, quæ ipsis parata sunt, conscensis, his vecti in paludem perveniunt *Acherusiam*; ibique habitant, purgatique, & pœnas dantes injuriarum, si quis quid injuste egerit, absolvuntur; &

τε εὐεργεσιῶν τιμὰς φέρεσθαι, καὶ τὴν ἀξίαν ἕκαστος. οἱ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν, διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας, ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι, ἢ ἄλλα ὅσα τυγχάνει ὄντα τοιαῦτα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔποτε ἐκβαίνουσιν. οἱ δ' ἂν ἰάσιμα μέν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι προάξαντες, καὶ μεταμελὲν αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον ἀνάγκη· ἐμπεσόντας δὲ αὐτούς, καὶ ἐνιαυτὸν ἐκεῖ γενομένους, ἐμβάλλει ὅ κῦμα· τοὺς μὲν ἀνδροφόνους, καὶ τὴν Κωκυτόν· σὺν δὲ πατραλοίας καὶ μητραλοίας, καὶ τὴν Πυριφλεγέθοντα. ἐπειδὰν δὲ φερόμενοι γένωνται καὶ τὴν λίμνην τὴν Ἀχερουσίδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μέν, οὓς ἀπέκτειναν,

pro meritis item ſinguli benefactorum præmia reportant. Qui vero ob ſcelerum magnitudinem inſanabiles videantur, quod ſacrilegia multa & magna, vel cædes multas injuſtas & legibus vetitas, aliave, quæcunque hujuſmodi ſint, perpetraverint, hoſce quidem ſors conſentanea in Tartarum projicit, unde nunquam egrediuntur. Qui autem ſanabilia quidem peccata, ſed ingentia commiſiſſe reperiantur, ut qui adverſus patrem vel matrem violentum aliquid præ ira perpetrarint, ſed pœnitentia ducti eos in reliqua vita coluerint, vel qui alio quodam ſimili modo homicidæ fuerint, eos in Tartarum quidem neceſſe eſt incidere; ſed poſtquam inciderint, atque ibi per annum commorati fuerint, eos fluctus inde ejicit; homicidas quidem per Cocytum, patrum vero & matrum violatores per Pyriphlegethontem. Poſtquam vero *ab his* delati *fluminibus* ad paludem Acheruſiam pervenerint, clamant hic vocantque, alii eos, quos interfecerint,

οἱ δέ, οὓς ἠδίκησαν. καλέσαντες δ' ἱκετεύσι, καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι. καὶ ἐὰν μὲν πείσωσιν, ἐκβαίνουσί τε καὶ λήγουσι τῶν κακῶν· εἰ δὲ μή, φέρονται αὖθις εἰς τὸν Τάρταρον, καὶ ἐκεῖθεν πάλιν εἰς τοὺς ποταμούς. καὶ ταῦτα πάσχοντες ἅ φημι τέλος παύονται, ὁπόταν πείσωσιν οὓς ἠδίκησαν. αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. οἱ δὲ δὴ ἂν δόξωσι διαφερόντως τοῦ ὁσίως βεβιωκέναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι, καὶ ὑπὲρ γῆς οἰκίζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηραμένοι, ἄνευ τε σωμάτων ζῶσι τὸπαρεκπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται· ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἂν τῷ παρόντι.

ξγ'. Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ

alii eos, quos injuriis affecerint. Vocatoſque ſuppliciter rogant atque obteſtantur, ut eos permittant in paludem ingredi, ipſoſque excipiant. Ac, ſi id impetraverint, *in paludem* egrediuntur, & malorum finem habent: ſin minus, referuntur in Tartarum, atque inde rurſus in flumina. Neque hæc pati deſinunt, priuſquam eos, quos injuriis affecerint, exoraverint. Hæc enim pœna illis a judicibus impoſita erat. Qui autem pie præ cæteris vixiſſe reperiantur, hi ſunt, qui ex his intra terram locis, tanquam e carceribus, ſoluti ac liberati, in puram altius regionem aſcendunt, & ſupra terram habitant. Horum autem quicunque ſatis per philoſophiam purgati fuerint, abſque corporibus omnino per omne futurum tempus vivunt, & in habitationes etiam hiſce pulchriores perveniunt; quas neque facile eſt deſcribere, neque præſens tempus ad id agendum ſufficeret.

63. Horum itaque, quæ narrata ſunt, gratia, omni ſtudio,

Σιμμία, πάντα ποιεῖν, ὅτε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μεταλαχεῖν. καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη. τὸ μὲν οὖν ταῦτα διϊσχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί. ὅτι μέντοι ἢ ταῦτ' ἐστὶν, ἢ τοιαῦτα ἄττα, περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν ἐμοὶ δοκεῖ, καὶ ἄξιον κινδυνεύσαι, οἰομένῳ οὕτως ἔχειν. καλὸς γὰρ ὁ κίνδυνος, καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ ἐπᾴδειν ἑαυτῷ. διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω τὸν μῦθον. ἀλλὰ τούτων δὴ ἕνεκα θαρρεῖν χρὴ περὶ τῇ αὐτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ τὸς κόσμους εἴασε χαίρειν, ὡς ἀλλοτρίους τε ὄντας, καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι· τὰς δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε, καὶ κοσμήσας τὸν ψυχὸν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς

Simmia, eſt adnitendum, ut in hac vita virtutem ſapientiamque conſequamur. Præclarum enim eſt præmium, & ſpes ingens. Hæc quidem eo ſe pacto *prorſus* habere, quo ego expoſui, non decet virum ſanæ mentis aſſerere. Eſſe tamen vel hæc vel hujuſmodi quædam, quod ad animas noſtras earumque habitationes ſpectat, quandoquidem animam certe immortalem eſſe apparet, id & *aſſerere* decere mihi videtur, & dignum eſſe, cujus *quaſi* diſcrimen, id ita ſe habere exiſtimantes, adeamus. Honeſtum enim eſt periculum, oportetque hujuſcemodi rebus, quaſi incantamentis, noſmet delenire. Quapropter ipſe jamdudum fabulam produxi. Horum itaque gratia bonam ſpem de anima ſua habere debet, quicunque, cæteris quidem voluptatibus, *ſcilicet* iis, quæ ad corpus ſpectant, ejuſque ornamentis neglectis, tanquam alienis, & quod illud alterum efficere pluris eſſe exiſtimet, voluptates, quæ diſcendo percipiantur, ſtudioſe ſectatus fuerit, cumque animum non alieno, ſed proprio decoraverit

κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς ᾅδου πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ. ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, εἰσαῦθις ἐν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε. ἐμὲ δὲ νῦν ἤδη καλεῖ (φαίη ἂν ἀνὴρ τραγικὸς) ἡ εἱμαρμένη, καὶ σχεδόν τι μοι ὥρα πρὸς τὸ λουτρόν. δοκῶ γὰρ ἤδη βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον, καὶ μὴ πρότερον τὰ σώματα παρέχειν νεκρὸν λοῦσαι.

ξδ'. Ταῦτα δὴ εἰπόντος αὐτοῦ, ὁ Κρίτων, Εἶεν, ἔφη, ὦ Σώκρατες. τί δὴ τούτοις ἢ ἐμοὶ ἐπιτέλλῃ, ἢ περὶ τῶν παίδων, ἢ περὶ ἄλλου του, ὅ, τι ἂν σοι πιθόντες ἡμεῖς, ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅπερ ἀεὶ λέγω, ἔφη, ὦ Κρίτων· οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς, καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἂν χάριτα ποιήσετε ἅτ' ἂν ποιῆτε· κἂν μὴ νῦν ὁμολογήσητε. ἐὰν δὲ ὑμῶν μὲν αὐτῶν ἀμελῆτε, καὶ μὴ θέλητε,

ornatu, temperantia, juſtitia, fortitudine, libertate, & veritate, ita demum ad inferos migrationem expectat, tanquam, cum fatum vocaverit, migraturus. Vos quidem, inquit, Simmia & Cebes cæterique, aliquo poſthac tempore ſinguli migrabitis. Me vero jam nunc, (tragicus aliquis dixerit) vocat fatum; ac ferme tempus eſt, ut ad lavandum divertam. Præſtat enim, ut puto, me prius lavari, quam venenum bibam, nec cadaveris lavandi mulieribus negotium faceſſere.

64. Cum hæc ergo dixiſſet, Eſto, Socrates, inquit Crito: quidnam vero his vel mihi mandas, aut de filiis tuis aut de quavis alia re, quod agendo maxime tibi gratum fecerimus? Nihil novi, Crito, inquit, ſed quod ſemper vobis prædixi; *nimirum* ſi veſtri curam habueritis, & mihi & meis & vobis ipſis grata feceritis, quæcunque feceritis; etiamſi nunc non promiſeritis. At vero, ſi vos ipſos neglexeritis, nec volueritis ex iis, quæ

ὥσπερ κατ' ἴχνη, κατὰ τά νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ, ζῆν, ἢν δὲ ἐὰν πολλὰ ὁμολογήσητε ἐν ᾧ παρόντι καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν προθυμησόμεθα, ἔφη, ὅτω ποιεῖν. βαπτόμεν δὲ σε τρόπον; Οπως ἂν, ἔφη, βούλησθε· ἐάν γε λάβητέ με, καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῆ, καὶ πρὸς ἡμᾶς ἀποβλέψας, εἶπεν, Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης, ὁ νυνὶ διαλεγόμενος, καὶ διατάττων ἕκαστα τῶν λεγομένων· ἀλλ' οἴεταί με ἐκεῖνον εἶναι, ὃν ὀφθαλμὸν ὀλίγον ὕστερον νεκρὸν, καὶ ἐρωτᾷ πῶς δεῖ με θάπτειν. ὅτι ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι, ὡς ἐπειδὰν πίω ὅ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ εἰκῇ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲ ὑμᾶς, ἅμα δ' ἐμαυτόν. ἐγγυήσασθε οὖν με πρὸς Κρίτωνα, ἔφη, τὴν ἐναντίαν ἐγγύην, ἢ ἣν οὗτος

& nunc & ſuperiori tempore dicta ſunt, tanquam veſtigiis, vitam inſtituere, nihil prorſus proficietis, etſi multa nunc ac vehementer mihi promiſeritis. Hæc ergo ita præſtare, ait *Crito*, curæ nobis erit. Sed quemadmodum te ſepeliemus? Ut vobis, inquit, libet; ſi modo me apprehenderitis, ac ego vos non effugero. Et ſimul leniter ſubridens, & ad nos converſus, Non perſuadeo, inquit, viri, Critoni, me eſſe hunc Socratem, qui nunc diſputat, & ſingula dicta diſponit: ſed opinatur me illum eſſe, quem paulo poſt mortuum videbit, & rogat utique quemadmodum me ſepeliri oporteat. Quod autem jamdudum plurimis verbis contendi, me, poſtquam venenum bibero, haud ulterius vobiſcum remanſurum, ſed ad quaſdam beatorum abiturum felicitates, hoc quidem mihi videor fruſtra illi dixiſſe, conſolans vos ſimul atque me ipſum. Vades igitur voſmet ipſos, inquit, pro me Critoni date, contraria prorſus ſpondentes, quam quæ ipſe

πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. οὗτος μὲν γὰρ ἢ μὴν παραμενεῖν· ὑμεῖς δέ, ἢ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα· ἵνα Κείτων ῥᾷον φέρῃ, καὶ μὴ, ὁρῶν μου τὸ σῶμα ἢ καιόμενον ἢ καταρυττόμενον, ἀγανακτῇ ὑπὲρ ἐμοῦ, ὡς δεινὰ ἄλλα πάσχοντι· μηδὲ λέγῃ ἐν τῇ ταφῇ, ὡς ἢ προτίθεται Σωκράτη, ἢ ἐκφέρει, ἢ καταρύτει. εὖ γὰρ ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κείτων, ὃ μὴ καλῶς λέγειν, οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελὲς, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. ἀλλὰ θαῤῥεῖν τε χρὴ, καὶ φάναι τὸν μὲν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως, ὅπως ἄν σοι φίλον ᾖ, καὶ μάλιστα ἡγῇ νόμιμον εἶ).

ξε'. Ταῦτ' εἰπὼν, ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κείτων εἵπετο αὐτῷ· ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν, πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων, καὶ ἀνασκοποῦντες· τότε

judicibus meis ſpoſpondit. Ille enim, me certe permanſurum; vos autem, me, cum obiero, certe non permanſurum ſpondete, ſed omnino abiturum; ut Crito hoc facilius ferat, neque, cum meum corpus vel cremari cernat vel ſepeliri, caſum meum, quaſi gravia quædam paſſus fuerim, indignetur; neque dicat in funere, collocari Socratem, aut efferri, aut ſub terram condi. Certum enim id habeto, inquit ille, optime Crito, nos minus recte loquendo non ſolum hoc ipſo peccare, verum etiam animis noſtris damni aliquod inferre. At bono animo eſſe oportet, atque corpus meum, *non me*, ſepeliendum dicere, atque ita ſepelire, ut tibi placebit, legibuſque maxime conſentaneum eſſe cenſebis.

65. His dictis, ille quidem ſurgens diſceſſit in cubiculum quoddam ut lavaret, & Crito eum ſecutus eſt: nos vero expectare juſſit. Expectabamus ergo, de iis, quæ dicta erant, inter nos differentes, rurſuſque ea conſiderantes; non-

δ' αὖ περὶ τῆς συμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἠγούμενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ ἐλούσατο, καὶ ἦνέχθη παρ' αὐτὸν τὰ παιδία, (δύο γὰρ αὐτῷ ἡμῖν σμικροὶ ἦσαν, εἷς δὲ μέγας) καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κείτωνος διαλεχθείς τε καὶ ὑπισείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπέναι ἐκέλευσεν, αὐτὸς δὲ ἦκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν. χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος· καὶ οὐ πολλὰ ἅττα μετὰ ταῦτα διελέχθη. καὶ ἦκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης, καὶ στὰς παρ' αὐτὸν, Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γέ σου ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν ὃ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ

nunquam vero de calamitate, quanta *ſcilicet* nobis accidiſſet, verba facientes, plane exiſtimantes, nos, tanquam patre privatos, reliquam deinceps vitam orbos traducturos eſſe. Cum vero *Socrates* laviſſet, & adducti ad eum eſſent pueri ejus, (duos enim filios parvulos habuit, unum autem jam grandem) & domeſticæ mulieres adveniſſent, & cum eas coram Critone allocutus eſſet, iiſque, quæ voluit, mandaſſet, mulieres quidem & pueros abire juſſit, ipſe vero ad nos rediit. Jamque ſolis occaſus appropinquabat. Multum enim tempus intus commoratus erat. Ubi autem a lavando advenerat, conſedit; nec multa poſthæc locutus eſt. Tunc venit undecimvirum miniſter, eique adſtans, Illud, inquit, in te, Socrates, minime animadvertam, quod in aliis animadverti, eos *nempe* mihi ſuccenſere, meque execrari, quando, magiſtratibus *me id agere* cogentibus, iis venenum eſſe bibendum denuncio. Te vero cognovi & in aliis rebus per hoc

χρόνῳ γενναιόταζον καὶ πραότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων· καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις, (γινώσκεις γὰρ σὺ αἰτίους) ἀλλὰ ἐκείνοις. νῦν οὖν (οἶσθα γὰρ ἃ ἦλθον ἀγγελῶν) χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. Καὶ ἅμα δακρύσας, μεταστρεφόμενος ἀπῄει. καὶ ὁ Σωκράτης, ἀναβλέψας πρὸς αὐτὸν, Καὶ σύ, ἔφη, χαῖρε· καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ ὡς διὰ πάντα μοι τὸν χρόνον προσήει, καὶ διελέγετο ἐνίοτε· καὶ ἦν ἀνδρῶν λῷστος· καὶ νῦν ὡς γνησίως με ἀποδακρύει. Ἀλλά γε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ· καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριβάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κείτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι, καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν ὡς ἀγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πόν-

tempus generoſiſſimum, manſuetiſſimum, optimumque eſſe omnium, qui huc unquam venerunt, virum: ideoque & nunc certo ſcio te mihi haud ſuccenſere, (noſti enim auctores) ſed illis. Nunc ergo (ſcis enim quid huc nunciaturus veni) vale, atque conare neceſſaria hæc quam facillime ferre. Simulque in lacrymas effuſus, retro converſus abiit. Et Socrates illum intuitus, Et tu, inquit, vale; noſque hæc præſtabimus. Et ſimul ad nos *converſus*, Quam urbanus, inquit, iſte homo eſt! & ad me is per totum hoc tempus ventitabat, & colloquebatur aliquando; virorumque erat optimus; & nunc quam generoſe me deflet. Verum enimvero, Crito illi pareamus; & afferat venenum aliquis, ſi tritum eſt; ſin minus, iſte conterat. Hic Crito, Atqui ego, Socrates, inquit, exiſtimo ſolem nondum montes reliquiſſe, neque adhuc occidiſſe. Simulque alios novi etiam valde ſero bibiſſe, poſtquam ipſis nunciatum eſſet, cœnatos atque bene ad-

τας εὖ μάλα, καὶ συγγενομένους γ' ἐνίοις ὧν ἂν τύχωσιν ὀπτῦμῦντες. Ἀλλὰ μηδὲν ἐπείγου. ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης, Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, ἃ σὺ λέγεις, (οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες) καὶ ἔγωγε εἰκότως ταῦτα οὐ ποιήσω. οὐδὲν γὰρ οἶμαι κερδανεῖν, ὀλίγον ὕστερον πιὼν, ἀλλὰ γε ἢ γέλωτα ὀφλήσειν πρὸ ἐμαυτῷ, γλιχόμενος δὲ ζῆν, καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. Ἀλλ' ἴθι, ἔφη, πείθου, καὶ μὴ ἄλλως ποίει.

ξϛ'. Καὶ ὁ Κρίτων ἀκούσας, ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας, ἦκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, Εἶεν, ἔφη, ὦ βέλτιστε· (σὺ γὰρ τούτων ἔμπειρος) τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιέναι, ἕως ἂν σοι βάρος ἐν τοῖς σκέλεσι γένηται· ἔπειτα κατακεῖσθαι.

modum potos, & nonnullos etiam amoribus ſuis potitos. Quamobrem ne feſtines: adhuc enim *tempus* ſupereſt. Tum Socrates, Jure quidem, Crito, inquit, ii iſta, quæ tu dicis, faciunt, (exiſtimant enim ſe iſta agendo lucri aliquid percepturos) & ego iſta jure merito non faciam. Nihil enim mihi, ſi paulo tardius venenum bibero, lucri acceſſurum arbitror, præterquam quod mihimet ipſi ludibrium debuero, vitæ nimis tenax, ejuſque, cum nihil jam amplius ſupereſt, parcus. Age itaque, inquit, obtempera, neque aliter facias.

66. Hoc audito, Crito puero prope adſtanti annuit. Et puer egreſſus & aliquod tempus commoratus, venit, eum, qui venenum daturus erat, adducens, quique id in poculo tritum ferebat. Hunc vero Socrates conſpicatus, Cedo, inquit, vir optime, (tu enim harum rerum peritus es) quid faciendum eſt? Nihil aliud, inquit, quam, ubi biberis, deambulare, donec crura tibi graventur; tum vero decumbere:

καὶ οὕτως αὐτὸ ποιήσεις. Καὶ ἅμα ὥρεξε τὴν κύλικα τῷ Σωκράτει. ὁ δὲ λαβὼν, καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας, οὐδὲ διαφθείρας οὔτε τὴν χρόαν οὔτε τὸ πρόσωπον, ἀλλ' ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ ποτοῦ πρὸς τὸ ἀποσπεῖσαί τινί; ἔξεστιν, ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαι γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρὴ, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε, καὶ γένοιτο ταύτη. Καὶ ἅμα εἰπὼν ταῦτα, ὑπεδέξατο, καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ὑπερεκῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν· ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, ἐκεῖνο. Ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτῷ ἀσμενὶ ἐχώρει τὰ δάκρυα· ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν. οὐ γὰρ δὴ ἐκεῖνον γε, ἀλλὰ τὴν ἐμαυτοῦ

atque ita id facies. Simulque calicem Socrati porrexit. Et ille eo accepto, & valde quidem hilaris, Echecrates, nihil tremens, neque colore nec vultu in pejus commutato, ſed taurino, ut ſolitus erat, aſpectu hominem intuitus, Quid ais, inquit, de hoc poculo? licet alicui libare, an non? Tantum, inquit, Socrates, *ſolummodo* terimus, quantum bibituro ſatis fore arbitramur. Intelligo, inquit ille: at orare certe deos, ut mea hinc illuc migratio felix ſit, & licet & decet: quæ quidem & oro, & utinam ita fiat. Simulque cum hæc dixiſſet, finem loquendi faciens, facileque admodum & alacriter ebibit. Ac eouſque quidem plerique noſtrum ſatis quodammodo lachrymas continere potueramus: ubi vero eum & bibentem & cum bibiſſet, vidimus, non amplius *potuimus*. Sed mihi certe, me utcunque renitente, lachrymæ largiter profluebant: itaque memet obtegens me ipſum deplorabam. Non enim illum ſane *deflebam*, ſed meam ipſius

τύχην, οἷου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος γὴ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλαίων καὶ ἀγανακτῶν, ὀδύνα ὄντινα οὐ [1] κατέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δὲ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν. καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε, καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ἠσχύνημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδὴ οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος. οὕτω γὰρ ἐκέλευσεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ ὁ τοὺς τὸ φάρμακον δοὺς χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη. κἄπειτα σφόδρα

fortunam, quali *nimirum* amico orbatus eſſem. Crito autem, quum lachrymas continere non poſſet, etiam me prior ſurrexit. Apollodorus vero nec in ſuperiori unquam tempore lachrymare deſinebat; tum vero vociferans, flens & acerbe conquerens, neminem non *lachrymis ſuis* frangebat, præterquam ipſum Socratem. Ille vero, Qualia, inquit, viri egregii, agitis? Ego quidem hanc ob cauſam potiſſimum mulieres dimiſi, ne talia admitterent. Audivi etenim cum fauſtis acclamationibus decedendum eſſe. Quieſcite ergo, & bono animo eſtote. Et nos, cum hæc audiviſſemus, erubuimus, & a lachrymis deſtitimus. Ipſe vero, quum inter deambulandum ſibi crura gravari dixiſſet, ſupinus decubuit. Sic enim homo juſſerat. Et ſimul iſte, qui venenum dederat, eum tangens, tempore interjecto, pedes & crura inſpiciebat. Ac deinde cum pe-

1 Forſan κατέκλασε *Steph.*

πιέσας αὐτοῦ τὸν πόδα, ἤρετο εἰ αἰσθάνοιτο. ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας. καὶ ἐπανιὼν ἥτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ [1] πήγνυτο. καὶ αὐτὸς ἥψατο, καὶ εἶπεν, ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἧτρον ψυχόμενα· καὶ ἀνακαλυψάμενος (ἐκεκάλυπτο γὰρ) εἶπεν, (ἃ δὴ τελευταῖον ἐφθέγξατο) Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα. ἀλλὰ ἀπόδοτε, καὶ μὴ ἀμελήσητε. Ἀλλὰ ταῦτα ἔσται, ἔφη ὁ Κρίτων. ἀλλ' ὅρα εἴ τι ἄλλο λέγεις. Ταῦτα ἐρομένου αὐτοῦ, οὐδὲν ἔτι ἀπεκρίνατο· ἀλλ' ὀλίγον χρόνον διαλιπών, ἐκινήθη τε, καὶ ὁ ἄνθρωπος ἀπεκάλυψεν αὐτόν. καὶ ὃς τὰ ὄμματα ἔστησεν. ἰδὼν δὲ ὁ Κρίτων συνέλαβε τὸ στόμα τε καὶ τοὺς ὀφθαλμούς.

dem ejus vehementius compreſſerat, rogabat, an ſentiret. Ille vero negabat. Et poſt hoc rurſus tibias *compreſſit*: ac *manu* ita aſcendens nobis oſtendit frigere eum atque rigere. Et ipſe quoque ſe tetigit & dixit, ſe, cum venenum ipſi ad cor pervenerit, tum deceſſurum. Jam vero venter imus ferme frigebat; cum ſe ipſum detegens (erat enim coopertus) dixit, (quæ quidem ei extrema vox erat) O Crito, gallum Æſculapio debemus. Perſolvite ergo, neque id negligatis. At hæc fient, inquit Crito. Sed vide an quid aliud velis. Illi hæc interroganti nihil amplius reſpondit; ſed parvo temporis ſpatio interjecto, ſe commovit, atque homo eum detexit. Atque ipſe lumina fixit. Quod cum Crito conſpexiſſet, os oculoſque ei compoſuit.

1 Forſan. πηγνύοιτο *Steph.*

ξζ'. Ηδε ἡ τελευτὴ, ὦ Εχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρὸς, ὡς ἡμεῖς φαῖμεν ἂν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου, & ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

